**ΑΚΟΛΟΥΘΙΑ ΝΕΚΡΩΣΙΜΟΣ ΤΟΥ ΕΞΟΔΙΑΣΤΙΚΟΥ ΤΩΝ ΜΟΝΑΧΩΝ & ΜΟΝΑΖΟΥΣΩΝ (ΕΝ ΤΩ ΝΑΩι)**

***Διάκονος***: Εὐλόγησον Δέσποτα. ***Ἱερεύς***: Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ***Ὁ Κανονάρχης***: Ἀμήν.
***ΨΑΛΜΟΣ 90ος.*** Ὁ κατοικῶν ἐν βοηθείᾳ τοῦ Ὑψίστου, ἐν σκέπῃ τοῦ Θεοῦ τοῦ οὐρανοῦ αὐλισθήσεται. 2 ἐρεῖ τῷ Κυρίῳ· ἀντιλήπτωρ μου εἶ καὶ καταφυγή μου, ὁ Θεός μου, καὶ ἐλπιῶ ἐπ᾿ αὐτόν, 3 ὅτι αὐτὸς ρύσεταί σε ἐκ παγίδος θηρευτῶν καὶ ἀπὸ λόγου ταραχώδους. 4 ἐν τοῖς μεταφρένοις αὐτοῦ ἐπισκιάσει σοι, καὶ ὑπὸ τὰς πτέρυγας αὐτοῦ ἐλπιεῖς· ὅπλῳ κυκλώσει σε ἡ ἀλήθεια αὐτοῦ. 5 οὐ φοβηθήσῃ ἀπὸ φόβου νυκτερινοῦ, ἀπὸ βέλους πετομένου ἡμέρας, 6 ἀπὸ πράγματος ἐν σκότει διαπορευομένου, ἀπὸ συμπτώματος καὶ δαιμονίου μεσημβρινοῦ. 7 πεσεῖται ἐκ τοῦ κλίτους σου χιλιὰς καὶ μυριὰς ἐκ δεξιῶν σου, πρὸς σὲ δὲ οὐκ ἐγγιεῖ· 8 πλὴν τοῖς ὀφθαλμοῖς σου κατανοήσεις καὶ ἀνταπόδοσιν ἁμαρτωλῶν ὄψει. 9 ὅτι σύ, Κύριε, ἡ ἐλπίς μου· τὸν Ὕψιστον ἔθου καταφυγήν σου. 10 οὐ προσελεύσεται πρὸς σὲ κακά, καὶ μάστιξ οὐκ ἐγγιεῖ ἐν τῷ σκηνώματί σου. 11 ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ τοῦ διαφυλάξαι σε ἐν πάσαις ταῖς ὁδοῖς σου· 12 ἐπὶ χειρῶν ἀροῦσί σε, μήποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου· 13 ἐπὶ ἀσπίδα καὶ βασιλίσκον ἐπιβήσῃ καὶ καταπατήσεις λέοντα καὶ δράκοντα. 14 ὅτι ἐπ᾿ ἐμὲ ἤλπισε, καὶ ρύσομαι αὐτόν· σκεπάσω αὐτόν, ὅτι ἔγνω τὸ ὄνομά μου. 15 κεκράξεται πρός με, καὶ ἐπακούσομαι αὐτοῦ, μετ᾿ αὐτοῦ εἰμι ἐν θλίψει· ἐξελοῦμαι αὐτόν, καὶ δοξάσω αὐτόν. 16 μακρότητα ἡμερῶν ἐμπλήσω αὐτὸν καὶ δείξω αὐτῷ τὸ σωτήριόν μου.
<u>Ἀλληλούϊα</u> ***[γ΄]. Ἦχος πλ. δ΄ [Ψαλμός 64, 101].***
***Στίχ***. Μακάριος ὃν ἐξελέξω καὶ προσελάβου, Κύριε. <u>Ἀλληλούϊα</u> ***[γ΄].***
***Στίχ***. Καὶ τὸ μνημόσυνόν αὐτοῦ εἰς γενεὰν καὶ γενεάν. <u>Ἀλληλούϊα</u> ***[γ΄].***
***(Στίχ***. *Ἡ ψυχὴ αὐτοῦ ἐν ἀγαθοῖς αὐλισθήσεται. <u>Ἀλληλούϊα</u>* ***[γ΄].)***
***Ἦχος πλ. δ΄***
Ὁ βάθει σοφίας φιλανθρώπως πάντα οἰκονομῶν, καὶ τὸ συμφέρον πᾶσιν ἀπονέμων μόνε Δημιουργέ, ἀνάπαυσον Κύριε τὴν ψυχὴν τοῦ δούλου σου (τῆς δούλης σου)· ἐν σοὶ γὰρ τὴν ἐλπίδα ἀνέθετο, τῷ ποιητῇ καὶ πλάστῃ καὶ Θεῷ ἡμῶν.
Δόξα... <u>τὸ αὐτό</u>
**ἤ**
Ἐν σοὶ γὰρ τὴν ἐλπίδα ἀνέθετο, τῷ ποιητῇ καὶ πλάστῃ καὶ Θεῷ ἡμῶν.
Καὶ νῦν... Σὲ καὶ τεῖχος, καὶ λιμένα ἔχομεν, καὶ πρέσβυν εὐπρόσδεκτον, πρὸς ὃν ἔτεκες Θεόν, Θεοτόκε ἀνύμφευτε, τῶν πιστῶν ἡ σωτηρία.
***Καὶ εὐθὺς ὁ ἄμωμος εἰς στάσεις δύο.ΨΑΛΜΟΣ 118ος***
Μακάριοι οἱ ἄμωμοι ἐν ὁδῷ οἱ πορευόμενοι ἐν νόμῳ Κυρίου. 2 μακάριοι οἱ ἐξερευνῶντες τὰ μαρτύρια αὐτοῦ· ἐν ὅλῃ καρδίᾳ ἐκζητήσουσιν αὐτόν. 3 οὐ γὰρ οἱ ἐργαζόμενοι τὴν ἀνομίαν ἐν ταῖς ὁδοῖς αὐτοῦ ἐπορεύθησαν. 4 σὺ ἐνετείλω τὰς ἐντολάς σου τοῦ φυλάξασθαι σφόδρα. 5 ὄφελον κατευθυνθείησαν αἱ ὁδοί μου τοῦ φυλάξασθαι τὰ δικαιώματά σου. 6 τότε οὐ μὴ αἰσχυνθῶ ἐν τῷ με ἐπιβλέπειν ἐπὶ πάσας τὰς ἐντολάς σου. 7 ἐξομολογήσομαί σοι ἐν εὐθύτητι καρδίας ἐν τῷ μεμαθηκέναι με τὰ κρίματα τῆς δικαιοσύνης σου. 8 τὰ δικαιώματά σου φυλάξω· μή με ἐγκαταλίπῃς ἕως σφόδρα. 9 Ἐν τίνι κατορθώσει νεώτερος τὴν ὁδὸν αὐτοῦ; ἐν τῷ φυλάξασθαι τοὺς λόγους σου. 10 ἐν ὅλῃ καρδίᾳ μου ἐξεζήτησά σε· μὴ ἀπώσῃ με ἀπὸ τῶν ἐντολῶν σου. 11 ἐν τῇ καρδίᾳ μου ἔκρυψα τὰ λόγιά σου, ὅπως ἂν μὴ ἁμάρτω σοι. **12***<u>(ψάλλουμε:)</u>* **εὐλογητὸς εἶ, Κύριε· δίδαξόν με τὰ δικαιώματά σου. ΑΛΛΗΛΟΥΙΑ.** 13 ἐν τοῖς χείλεσί μου ἐξήγγειλα πάντα τὰ κρίματα τοῦ στόματός σου. 14 ἐν τῇ ὁδῷ τῶν μαρτυρίων σου ἐτέρφθην ὡς ἐπὶ παντὶ πλούτῳ. 15 ἐν ταῖς ἐντολαῖς σου ἀδολεσχήσω καὶ κατανοήσω τὰς ὁδούς σου. 16 ἐν τοῖς δικαιώμασί σου μελετήσω, οὐκ ἐπιλήσομαι τῶν λόγων σου. 17 Ἀνταπόδος τῷ δούλῳ σου· ζήσομαι καὶ φυλάξω τοὺς λόγους σου. 18 ἀποκάλυψον τοὺς ὀφθαλμούς μου, καὶ κατανοήσω τὰ θαυμάσια ἐκ τοῦ νόμου σου. 19 πάροικος ἐγώ εἰμι ἐν τῇ γῇ· μὴ ἀποκρύψῃς ἀπ᾿ ἐμοῦ τὰς ἐντολάς σου. 20 **ἐπεπόθησεν ἡ ψυχή μου τοῦ ἐπιθυμῆσαι τὰ κρίματά σου ἐν παντὶ καιρῷ. ΑΛΛΗΛΟΥΙΑ** 21 ἐπετίμησας ὑπερηφάνοις· ἐπικατάρατοι οἱ ἐκκλίνοντες ἀπὸ τῶν ἐντολῶν σου. 22 περίελε ἀπ᾿ ἐμοῦ ὄνειδος καὶ ἐξουδένωσιν, ὅτι τὰ μαρτύριά σου ἐξεζήτησα. 23 καὶ γὰρ ἐκάθισαν ἄρχοντες καὶ κατ᾿ ἐμοῦ κατελάλουν, ὁ δὲ δοῦλός σου ἠδολέσχει ἐν τοῖς δικαιώμασί σου. 24 καὶ γὰρ τὰ μαρτύριά σου μελέτη μού ἐστι, καὶ αἱ συμβουλίαι μου τὰ δικαιώματά σου. — 25 Ἐκολλήθη τῷ ἐδάφει ἡ ψυχή μου· ζῆσόν με κατὰ τὸν λόγον σου. 26 τὰς ὁδούς μου ἐξήγγειλα, καὶ ἐπήκουσάς μου· δίδαξόν με τὰ δικαιώματά σου. 27 ὁδὸν δικαιωμάτων σου συνέτισόν με, καὶ ἀδολεσχήσω ἐν τοῖς θαυμασίοις σου. 28 **ἐνύσταξεν ἡ ψυχή μου ἀπὸ ἀκηδίας· βεβαίωσόν με ἐν τοῖς λόγοις σου. ΑΛΛΗΛΟΥΙΑ** 29 ὁδὸν ἀδικίας ἀπόστησον ἀπ᾿ ἐμοῦ καὶ τῷ νόμῳ σου ἐλέησόν με. 30 ὁδὸν ἀληθείας ᾑρετισάμην καὶ τὰ κρίματά σου οὐκ ἐπελαθόμην. 31 ἐκολλήθην τοῖς μαρτυρίοις σου, Κύριε· μή με καταισχύνῃς. 32 ὁδὸν ἐντολῶν σου ἔδραμον, ὅταν ἐπλάτυνας τὴν καρδίαν μου. 33 Νομοθέτησόν με, Κύριε, τὴν ὁδὸν τῶν δικαιωμάτων σου, καὶ ἐκζητήσω αὐτὴν διαπαντός. 34 συνέτισόν με, καὶ ἐξερευνήσω τὸν νόμον σου καὶ φυλάξω αὐτὸν ἐν ὅλῃ καρδίᾳ μου. 35 ὁδήγησόν με ἐν τῇ τρίβῳ τῶν ἐντολῶν σου, ὅτι αὐτὴν ἠθέλησα. 36 **κλῖνον τὴν καρδίαν μου εἰς τὰ μαρτύριά σου καὶ μὴ εἰς πλεονεξίαν. ΑΛΛΗΛΟΥΙΑ** 37 ἀπόστρεψον τοὺς ὀφθαλμούς μου τοῦ μὴ ἰδεῖν ματαιότητα, ἐν τῇ ὁδῷ σου ζῆσόν με. 38 στῆσον τῷ δούλῳ σου τὸ λόγιόν σου εἰς τὸν φόβον σου. 39 περίελε τὸν ὀνειδισμόν μου, ὃν ὑπώπτευσα· ὅτι τὰ κρίματά σου χρηστά. 40 ἰδοὺ ἐπεθύμησα τὰς ἐντολάς σου· ἐν τῇ δικαιοσύνῃ σου ζῆσόν με. 41 Καὶ ἔλθοι ἐπ᾿ ἐμὲ τὸ ἔλεός σου, Κύριε, τὸ σωτήριόν σου κατὰ τὸν λόγον σου. 42 καὶ ἀποκριθήσομαι τοῖς ὀνειδίζουσί μοι λόγον, ὅτι ἤλπισα ἐπὶ τοῖς λόγοις σου. 43 καὶ μὴ περιέλῃς ἐκ τοῦ στόματός μου λόγον ἀληθείας ἕως σφόδρα, ὅτι ἐπὶ τοῖς κρίμασί σου ἐπήλπισα. 44 καὶ φυλάξω τὸν νόμον σου διαπαντός, εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. 45 καὶ ἐπορευόμην ἐν πλατυσμῷ, ὅτι τὰς ἐντολάς σου ἐξεζήτησα. 46 καὶ ἐλάλουν ἐν τοῖς μαρτυρίοις σου ἐναντίον βασιλέων καὶ οὐκ ᾐσχυνόμην. 47 καὶ ἐμελέτων ἐν ταῖς ἐντολαῖς σου, ἃς ἠγάπησα σφόδρα. 48 καὶ ἦρα τὰς χεῖράς μου πρὸς τὰς ἐντολάς σου ἃς ἠγάπησα, καὶ ἠδολέσχουν ἐν τοῖς δικαιώμασί σου. 49 Μνήσθητι τῶν λόγων σου τῷ δούλῳ σου, ὧν ἐπήλπισάς με. 50 αὕτη με παρεκάλεσεν ἐν τῇ ταπεινώσει μου, ὅτι τὸ λόγιόν σου ἔζησέ με. 51 ὑπερήφανοι παρηνόμουν ἕως σφόδρα, ἀπὸ δὲ τοῦ νόμου σου οὐκ ἐξέκλινα. 52 ἐμνήσθην τῶν κριμάτων σου ἀπ᾿ αἰῶνος, Κύριε, καὶ παρεκλήθην. 53 **ἀθυμία κατέσχε με ἀπὸ ἁμαρτωλῶν τῶν ἐγκαταλιμπανόντων τὸν νόμον σου. ΑΛΛΗΛΟΥΙΑ**54 ψαλτὰ ἦσάν μοι τὰ δικαιώματά σου ἐν τόπῳ παροικίας μου. 55 ἐμνήσθην ἐν νυκτὶ τοῦ ὀνόματός σου, Κύριε, καὶ ἐφύλαξα τὸν νόμον σου. 56 αὕτη ἐγενήθη μοι, ὅτι τὰ δικαιώματά σου ἐξεζήτησα. 57 Μερίς μου εἶ, Κύριε, εἶπα τοῦ φυλάξασθαι τὸν νόμον σου. 58 ἐδεήθην τοῦ προσώπου σου ἐν ὅλῃ καρδίᾳ μου· ἐλέησόν με κατὰ τὸ λόγιόν σου. 59 διελογισάμην τὰς ὁδούς σου καὶ ἐπέστρεψα τοὺς πόδας μου εἰς τὰ μαρτύριά σου. 60 ἡτοιμάσθην καὶ οὐκ ἐταράχθην τοῦ φυλάξασθαι τὰς ἐντολάς σου. 61 σχοινία ἁμαρτωλῶν περιεπλάκησάν μοι, καὶ τοῦ νόμου σου οὐκ ἐπελαθόμην. 62 μεσονύκτιον ἐξηγειρόμην τοῦ ἐξομολογεῖσθαί σοι ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σου. 63 **μέτοχος ἐγώ εἰμι πάντων τῶν φοβουμένων σε καὶ τῶν φυλασσόντων τὰς ἐντολάς σου. ΑΛΛΗΛΟΥΙΑ** 64 τοῦ ἐλέους σου, Κύριε, πλήρης ἡ γῆ· τὰ δικαιώματά σου δίδαξόν με. 65 Χρηστότητα ἐποίησας μετὰ τοῦ δούλου σου, Κύριε, κατὰ τὸν λόγον σου. 66 χρηστότητα καὶ παιδείαν καὶ γνῶσιν δίδαξόν με, ὅτι ταῖς ἐντολαῖς σου ἐπίστευσα. 67 πρὸ τοῦ με ταπεινωθῆναι ἐγὼ ἐπλημμέλησα, διὰ τοῦτο τὸ λόγιόν σου ἐφύλαξα. 68 χρηστὸς εἶ σύ, Κύριε, καὶ ἐν τῇ χρηστότητί σου δίδαξόν με τὰ δικαιώματά σου. 69 ἐπληθύνθη ἐπ᾿ ἐμὲ ἀδικία ὑπερηφάνων, ἐγὼ δὲ ἐν ὅλῃ καρδίᾳ μου ἐξερευνήσω τὰς ἐντολάς σου. 70 ἐτυρώθη ὡς γάλα ἡ καρδία αὐτῶν, ἐγὼ δὲ τὸν νόμον σου ἐμελέτησα. 71 ἀγαθόν μοι ὅτι ἐταπείνωσάς με, ὅπως ἂν μάθω τὰ δικαιώματά σου. 72 ἀγαθός μοι ὁ νόμος τοῦ στόματός σου ὑπὲρ χιλιάδας χρυσίου καὶ ἀργυρίου.
Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. και ελέησόν με, αλληλούια.

73 **Αἱ χεῖρές σου ἐποίησάν με καὶ ἔπλασάν με· συνέτισόν με καὶ μαθήσομαι τὰς ἐντολάς σου. ΕΛΕΗΣΟΝ ΜΕ, ΚΥΡΙΕ.** 74 οἱ φοβούμενοί σε ὄψονταί με καὶ εὐφρανθήσονται, ὅτι εἰς τοὺς λόγους σου ἐπήλπισα. 75 ἔγνων, Κύριε, ὅτι δικαιοσύνη τὰ κρίματά σου, καὶ ἀληθείᾳ ἐταπείνωσάς με. 76 γενηθήτω δὴ τὸ ἔλεός σου τοῦ παρακαλέσαι με κατὰ τὸ λόγιόν σου τῷ δούλῳ σου. 77 ἐλθέτωσάν μοι οἱ οἰκτιρμοί σου, καὶ ζήσομαι, ὅτι ὁ νόμος σου μελέτη μού ἐστιν. 78 αἰσχυνθήτωσαν ὑπερήφανοι, ὅτι ἀδίκως ἠνόμησαν εἰς ἐμέ· ἐγὼ δὲ ἀδολεσχήσω ἐν ταῖς ἐντολαῖς σου. 79 ἐπιστρεψάτωσάν με οἱ φοβούμενοί σε καὶ οἱ γινώσκοντες τὰ μαρτύριά σου. 80 γενηθήτω ἡ καρδία μου ἄμωμος ἐν τοῖς δικαιώμασί σου, ὅπως ἂν μὴ αἰσχυνθῶ. 81 Ἐκλείπει εἰς τὸ σωτήριόν σου ἡ ψυχή μου, εἰς τοὺς λόγους σου ἐπήλπισα. 82 ἐξέλιπον οἱ ὀφθαλμοί μου εἰς τὸ λόγιόν σου λέγοντες· πότε παρακαλέσεις με; 83 **ὅτι ἐγενήθην ὡς ἀσκὸς ἐν πάχνῃ· τὰ δικαιώματά σου οὐκ ἐπελαθόμην. ΕΛΕΗΣΟΝ ΜΕ, ΚΥΡΙΕ.** 84 πόσαι εἰσὶν αἱ ἡμέραι τοῦ δούλου σου; πότε ποιήσεις μοι ἐκ τῶν καταδιωκόντων με κρίσιν; 85 διηγήσαντό μοι παράνομοι ἀδολεσχίας, ἀλλ᾿ οὐχ ὡς ὁ νόμος σου, Κύριε. 86 πᾶσαι αἱ ἐντολαί σου ἀλήθεια· ἀδίκως κατεδίωξάν με, βοήθησόν μοι. 87 παρὰ βραχὺ συνετέλεσάν με ἐν τῇ γῇ, ἐγὼ δὲ οὐκ ἐγκατέλιπον τὰς ἐντολάς σου. 88 κατὰ τὸ ἔλεός σου ζῆσόν με, καὶ φυλάξω τὰ μαρτύρια τοῦ στόματός σου. 89 Εἰς τὸν αἰῶνα, Κύριε, ὁ λόγος σου διαμένει ἐν τῷ οὐρανῷ. 90 εἰς γενεὰν καὶ γενεὰν ἡ ἀλήθειά σου· ἐθεμελίωσας τὴν γῆν καὶ διαμένει. 91 τῇ διατάξει σου διαμένει ἡμέρα, ὅτι τὰ σύμπαντα δοῦλα σά. 92 εἰ μὴ ὅτι ὁ νόμος σου μελέτη μού ἐστι, τότε ἂν ἀπωλόμην ἐν τῇ ταπεινώσει μου.

***Ψάλλεται <u>τρὶς</u> εἰς ἦχον πλαγ. δ΄:***

<u>Εἰς τὸν αἰῶνα οὐ μὴ ἐπιλάθωμαι τῶν δικαιωμάτων σου, ὅτι ἐν αὐτοῖς ἔζησάς με.</u>

94 **Σός εἰμι ἐγώ, σῶσόν με, ὅτι τὰ δικαιώματά σου ἐξεζήτησα**. **ΕΛΕΗΣΟΝ ΜΕ, ΚΥΡΙΕ.** 95 ἐμὲ ὑπέμειναν ἁμαρτωλοὶ τοῦ ἀπολέσαι με· τὰ μαρτύριά σου συνῆκα. 96 πάσης συντελείας εἶδον πέρας· πλατεῖα ἡ ἐντολή σου σφόδρα. 97 Ὡς ἠγάπησα τὸν νόμον σου, Κύριε· ὅλην τὴν ἡμέραν μελέτη μού ἐστιν. 98 ὑπὲρ τοὺς ἐχθρούς μου ἐσόφισάς με τὴν ἐντολήν σου, ὅτι εἰς τὸν αἰῶνα ἐμή ἐστιν. 99 ὑπὲρ πάντας τοὺς διδάσκοντάς με συνῆκα, ὅτι τὰ μαρτύριά σου μελέτη μού ἐστιν. 100 ὑπὲρ πρεσβυτέρους συνῆκα, ὅτι τὰς ἐντολάς σου ἐξεζήτησα. 101 ἐκ πάσης ὁδοῦ πονηρᾶς ἐκώλυσα τοὺς πόδας μου, ὅπως ἂν φυλάξω τοὺς λόγους σου. **102 ἀπὸ τῶν κριμάτων σου οὐκ ἐξέκλινα, ὅτι σὺ ἐνομοθέτησάς με. ΕΛΕΗΣΟΝ ΜΕ, ΚΥΡΙΕ.** 103 ὡς γλυκέα τῷ λάρυγγί μου τὰ λόγιά σου, ὑπὲρ μέλι τῷ στόματί μου. 104 ἀπὸ τῶν ἐντολῶν σου συνῆκα· διὰ τοῦτο ἐμίσησα πᾶσαν ὁδὸν ἀδικίας. 105 Λύχνος τοῖς ποσί μου ὁ νόμος σου καὶ φῶς ταῖς τρίβοις μου. 106 ὤμοσα καὶ ἔστησα τοῦ φυλάξασθαι τὰ κρίματα τῆς δικαιοσύνης σου. 107 ἐταπεινώθην ἕως σφόδρα· Κύριε, ζῆσόν με κατὰ τὸν λόγον σου. 108 τὰ ἑκούσια τοῦ στόματός μου εὐδόκησον δή, Κύριε, καὶ τὰ κρίματά σου δίδαξόν με. 109 ἡ ψυχή μου ἐν ταῖς χερσί σου διαπαντός, καὶ τοῦ νόμου σου οὐκ ἐπελαθόμην. 110 ἔθεντο ἁμαρτωλοὶ παγίδα μοι, καὶ ἐκ τῶν ἐντολῶν σου οὐκ ἐπλανήθην. 111 ἐκληρονόμησα τὰ μαρτύριά σου εἰς τὸν αἰῶνα, ὅτι ἀγαλλίαμα τῆς καρδίας μού εἰσιν. 112 **ἔκλινα τὴν καρδίαν μου τοῦ ποιῆσαι τὰ δικαιώματά σου εἰς τὸν αἰῶνα δι᾿ ἀντάμειψιν. ΕΛΕΗΣΟΝ ΜΕ, ΚΥΡΙΕ.** 113 Παρανόμους ἐμίσησα, τὸν δὲ νόμον σου ἠγάπησα. 114 βοηθός μου, καὶ ἀντιλήπτωρ μου εἶ σύ· εἰς τοὺς λόγους σου ἐπήλπισα. 115 ἐκκλίνατε ἀπ᾿ ἐμοῦ, πονηρευόμενοι, καὶ ἐξερευνήσω τὰς ἐντολὰς τοῦ Θεοῦ μου.116 ἀντιλαβοῦ μου κατὰ τὸ λόγιόν σου, καὶ ζῆσόν με, καὶ μὴ καταισχύνῃς με ἀπὸ τῆς προσδοκίας μου. 117 βοήθησόν μοι, καὶ σωθήσομαι καὶ μελετήσω ἐν τοῖς δικαιώμασί σου διαπαντός. 118 ἐξουδένωσας πάντας τοὺς ἀποστατοῦντας ἀπὸ τῶν δικαιωμάτων σου, ὅτι ἄδικον τὸ ἐνθύμημα αὐτῶν. 119 παραβαίνοντας ἐλογισάμην πάντας τοὺς ἁμαρτωλοὺς τῆς γῆς· διὰ τοῦτο ἠγάπησα τὰ μαρτύριά σου. 120 καθήλωσον ἐκ τοῦ φόβου σου τὰς σάρκας μου· ἀπὸ γὰρ τῶν κριμάτων σου ἐφοβήθην. 121 Ἐποίησα κρῖμα καὶ δικαιοσύνην· μὴ παραδῷς με τοῖς ἀδικοῦσί με. 122 ἔκδεξαι τὸν δοῦλόν σου εἰς ἀγαθόν· μὴ συκοφαντησάτωσάν με ὑπερήφανοι. 123 οἱ ὀφθαλμοί μου ἐξέλιπον εἰς τὸ σωτήριόν σου καὶ εἰς τὸ λόγιον τῆς δικαιοσύνης σου. 124 ποίησον μετὰ τοῦ δούλου σου κατὰ τὸ ἔλεός σου καὶ τὰ δικαιώματά σου δίδαξόν με. 125 δοῦλός σού εἰμι ἐγώ· συνέτισόν με, καὶ γνώσομαι τὰ μαρτύριά σου. 126 **καιρὸς τοῦ ποιῆσαι τῷ Κυρίῳ· διεσκέδασαν τὸν νόμον σου. ΕΛΕΗΣΟΝ ΜΕ, ΚΥΡΙΕ.** 127 διὰ τοῦτο ἠγάπησα τὰς ἐντολάς σου ὑπὲρ χρυσίον καὶ τοπάζιον. 128 διὰ τοῦτο πρὸς πάσας τὰς ἐντολάς σου κατωρθούμην, πᾶσαν ὁδὸν ἄδικον ἐμίσησα. 129 Θαυμαστὰ τὰ μαρτύριά σου· διὰ τοῦτο ἐξηρεύνησεν αὐτὰ ἡ ψυχή μου. 130 ἡ δήλωσις τῶν λόγων σου φωτιεῖ καὶ συνετιεῖ νηπίους. 131 τὸ στόμα μου ἤνοιξα καὶ εἵλκυσα πνεῦμα, ὅτι τὰς ἐντολάς σου ἐπεπόθουν. Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. και Ἐλέησόν με, Κύριε, Κύριε

132 **Ἐπίβλεψον ἐπ᾿ ἐμὲ καὶ ἐλέησόν με κατὰ τὸ κρίμα τῶν ἀγαπώντων τὸ ὄνομά σου. ΑΛΛΗΛΟΥΙΑ.** 133 τὰ διαβήματά μου κατεύθυνον κατὰ τὸ λόγιόν σου, καὶ μὴ κατακυριευσάτω μου πᾶσα ἀνομία. 134 λύτρωσαί με ἀπὸ συκοφαντίας ἀνθρώπων, καὶ φυλάξω τὰς ἐντολάς σου. 135 τὸ πρόσωπόν σου ἐπίφανον ἐπὶ τὸν δοῦλόν σου καὶ δίδαξόν με τὰ δικαιώματά σου. 136 διεξόδους ὑδάτων κατέδυσαν οἱ ὀφθαλμοί μου, ἐπεὶ οὐκ ἐφύλαξα τὸν νόμον σου. 137 Δίκαιος εἶ, Κύριε, καὶ εὐθεῖαι αἱ κρίσεις σου. 138 ἐνετείλω δικαιοσύνην τὰ μαρτύριά σου καὶ ἀλήθειαν σφόδρα. 139 ἐξέτηξέ με ὁ ζῆλός σου, ὅτι ἐπελάθοντο τῶν λόγων σου οἱ ἐχθροί μου. 140 πεπυρωμένον τὸ λόγιόν σου σφόδρα, καὶ ὁ δοῦλός σου ἠγάπησεν αὐτό. 141 **νεώτερος ἐγώ εἰμι καὶ ἐξουδενωμένος· τὰ δικαιώματά σου οὐκ ἐπελαθόμην. ΑΛΛΗΛΟΥΙΑ**142 ἡ δικαιοσύνη σου δικαιοσύνη εἰς τὸν αἰῶνα, καὶ ὁ νόμος σου ἀλήθεια. 143 θλίψεις καὶ ἀνάγκαι εὕροσάν με· αἱ ἐντολαί σου μελέτη μου. 144 δικαιοσύνη τὰ μαρτύριά σου εἰς τὸν αἰῶνα· συνέτισόν με, καὶ ζήσομαι. 145 Ἐκέκραξα ἐν ὅλῃ καρδίᾳ μου· ἐπάκουσόν μου, Κύριε, τὰ δικαιώματά σου ἐκζητήσω. 146 ἐκέκραξά σοι· σῶσόν με, καὶ φυλάξω τὰ μαρτύριά σου. 147 προέφθασα ἐν ἀωρίᾳ καὶ ἐκέκραξα, εἰς τοὺς λόγους σου ἐπήλπισα. 148 προέφθασαν οἱ ὀφθαλμοί μου πρὸς ὄρθρον τοῦ μελετᾶν τὰ λόγιά σου. 149 **τῆς φωνῆς μου ἄκουσον, Κύριε, κατὰ τὸ ἔλεός σου, κατὰ τὸ κρῖμά σου ζῆσόν με. ΑΛΛΗΛΟΥΙΑ** 150 προσήγγισαν οἱ καταδιώκοντές με ἀνομίᾳ, ἀπὸ δὲ τοῦ νόμου σου ἐμακρύνθησαν. 151 ἐγγὺς εἶ, Κύριε, καὶ πᾶσαι αἱ ὁδοί σου ἀλήθεια. 152 κατ᾿ ἀρχὰς ἔγνων ἐκ τῶν μαρτυρίων σου, ὅτι εἰς τὸν αἰῶνα ἐθεμελίωσας αὐτά. 153 Ἴδε τὴν ταπείνωσίν μου καὶ ἐξελοῦ με, ὅτι τοῦ νόμου σου οὐκ ἐπελαθόμην. 154 κρῖνον τὴν κρίσιν μου καὶ λύτρωσαί με· διὰ τὸν λόγον σου ζῆσόν με. 155 μακρὰν ἀπὸ ἁμαρτωλῶν σωτηρία, ὅτι τὰ δικαιώματά σου οὐκ ἐξεζήτησαν. 156 οἱ οἰκτιρμοί σου πολλοί, Κύριε· κατὰ τὸ κρῖμά σου ζῆσόν με. 157 πολλοὶ οἱ ἐκδιώκοντές με καὶ θλίβοντές με· ἐκ τῶν μαρτυρίων σου οὐκ ἐξέκλινα. 158 εἶδον ἀσυνετοῦντας καὶ ἐξετηκόμην, ὅτι τὰ λόγιά σου οὐκ ἐφυλάξαντο. 159 ἴδε, ὅτι τὰς ἐντολάς σου ἠγάπησα· Κύριε, ἐν τῷ ἐλέει σου ζῆσόν με. 160 ἀρχὴ τῶν λόγων σου ἀλήθεια, καὶ εἰς τὸν αἰῶνα πάντα τὰ κρίματα τῆς δικαιοσύνης σου. 161 **Ἄρχοντες κατεδίωξάν με δωρεάν, καὶ ἀπὸ τῶν λόγων σου ἐδειλίασεν ἡ καρδία μου. ΑΛΛΗΛΟΥΙΑ**162 ἀγαλλιάσομαι ἐγὼ ἐπὶ τὰ λόγιά σου ὡς ὁ εὑρίσκων σκῦλα πολλά. 163 ἀδικίαν ἐμίσησα καὶ ἐβδελυξάμην, τὸν δὲ νόμον σου ἠγάπησα. 164 ἑπτάκις τῆς ἡμέρας ᾔνεσά σε ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σου. 165 εἰρήνη πολλὴ τοῖς ἀγαπῶσι τὸν νόμον σου, καὶ οὐκ ἔστιν αὐτοῖς σκάνδαλον. 166 προσεδόκων τὸ σωτήριόν σου, Κύριε, καὶ τὰς ἐντολάς σου ἠγάπησα. 167 ἐφύλαξεν ἡ ψυχή μου τὰ μαρτύριά σου καὶ ἠγάπησεν αὐτὰ σφόδρα. 168 ἐφύλαξα τὰς ἐντολάς σου καὶ τὰ μαρτύριά σου, ὅτι πᾶσαι αἱ ὁδοί μου ἐναντίον σου, Κύριε. 169 Ἐγγισάτω ἡ δέησίς μου ἐνώπιόν σου, Κύριε· κατὰ τὸ λόγιόν σου συνέτισόν με. 170 εἰσέλθοι τὸ ἀξίωμά μου ἐνώπιόν σου, Κύριε· κατὰ τὸ λόγιόν σου ῥῦσαί με. 171 ἐξερεύξαιντο τὰ χείλη μου ὕμνον, ὅταν διδάξῃς με τὰ δικαιώματά σου. 172 φθέγξαιτο ἡ γλῶσσά μου τὰ λόγιά σου, ὅτι πᾶσαι αἱ ἐντολαί σου δικαιοσύνη. 173 γενέσθω ἡ χείρ σου τοῦ σῶσαί με, ὅτι τὰς ἐντολάς σου ᾑρετισάμην. 174 ἐπεπόθησα τὸ σωτήριόν σου, Κύριε, καὶ ὁ νόμος σου μελέτη μού ἐστι.

***Ψάλλεται <u>τρὶς</u> εἰς ἦχον πλαγ. α΄:***

<u>Ζήσεται ἡ ψυχή μου καὶ αἰνέσει σε, καὶ τὰ κρίματά σου βοηθήσει μοι. Ἐπλανήθην ὡς πρόβατον ἀπολωλός· ζήτησον τὸν δοῦλόν σου (τὴν δούλην σου), ὅτι τὰς ἐντολάς σου οὐκ ἐπελαθόμην.</u>

***ΕΥΛΟΓΗΤΑΡΙΑ, Ἦχος πλ. α΄.***

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Τῶν Ἁγίων ὁ χορός, εὗρε πηγὴν τῆς ζωῆς καὶ θύραν Παραδείσου, εὕρω κἀγώ, τὴν ὁδὸν διὰ τῆς μετανοίας· τὸ ἀπολωλὸς πρόβατον ἐγώ εἰμι· ἀνακάλεσαί με, Σωτήρ, καὶ σῶσόν με.
Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.
Ὁ πάλαι μέν, ἐκ μὴ ὄντων πλάσας με, καὶ εἰκόνι σου θείᾳ τιμήσας, παραβάσει ἐντολῆς δὲ πάλιν με ἐπιστρέψας εἰς γῆν ἐξ ἧς ἐλήφθην, εἰς τὸ καθ´ ὁμοίωσιν ἐπανάγαγε, τὸ ἀρχαῖον κάλλος ἀναμορφώσασθαι.
Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.
Εἰκών εἰμι, τῆς ἀῤῥήτου δόξης σου, εἰ καὶ στίγματα φέρω πταισμάτων· οἰκτείρησον τὸ σὸν πλάσμα, Δέσποτα, καὶ καθάρισον σῇ εὐσπλαγχνίᾳ· καὶ τὴν ποθεινὴν πατρίδα παράσχου μοι, Παραδείσου πάλιν ποιῶν πολίτην με.
Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.
Οἱ τὸν Ἀμνόν, τοῦ Θεοῦ κυρήξαντες, καὶ σφαγιασθέντες ὥσπερ ἄρνες, καὶ πρὸς ζωὴν τὴν ἀγήρω, Ἅγιοι, καὶ ἀΐδιον μετατεθέντες, τοῦτον ἐκτενῶς, Μάρτυρες, αἰτήσασθε, ὀφλημάτων λύσιν ἡμῖν δωρήσασαθαι.
Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.
Οἱ τὴν ὁδόν, τὴν στενὴν βαδίσαντες, τεθλιμμένην πάντες οἱ ἐν βίῳ· οἱ τὸν Σταυρόν, ὡς ζυγὸν ἀράμενοι, καὶ ἐμοὶ ἀκολουθήσαντες ἐν πίστει, δεῦτε ἀπολαύετε, ἃ ἡτοίμασα ὑμῖν, βραβεῖα καὶ στέφη τὰ οὐράνια.
Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.
Ἀνάπαυσον, ὁ Θεὸς τὸν δοῦλόν σου (τὴν δούλην σου), καὶ κατάταξον αὐτὸν (αὐτὴν) ἐν Παραδείσῳ, ὅπου χοροὶ τῶν Ἁγίων, Κύριε, καὶ οἱ δίκαιοι ἐκλάμψουσιν ὡς φωστῆρες· τὸν κεκοιμημένον δοῦλον (τὴν κεκοιμημένην δούλην) σου ἀνάπαυσον, παρορῶν αὐτοῦ (αὐτῆς) πάντα τὰ ἐγκλήματα.
Δόξα... ***Τριαδικόν***. Τὸ τριλαμπὲς τῆς μιᾶς Θεότητος, εὐσεβῶς ὑμνήσωμεν βοῶντες· Ἅγιος εἶ, ὁ Πατὴρ ὁ ἄναρχος, ὁ συνάναρχος Υἱὸς καὶ θεῖον Πνεῦμα· φώτισον ἡμᾶς πίστει σοι λατρεύοντας, καὶ τοῦ αἰωνίου πυρὸς ἐξάρπασον.
Καὶ νῦν... ***Θεοτοκίον***. Χαῖρε σεμνή, ἡ Θεὸν σαρκὶ τεκοῦσα, εἰς πάντων σωτηρίαν, δι´ ἧς γένος τῶν ἀνθρώπων εὕρατο τὴν σωτηρίαν· διὰ σοῦ εὕροιμεν Παράδεισον, Θεοτόκε, ἁγνὴ εὐλογημένη.
Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα. Δόξα σοι ὁ Θεός ***(γ´).***
***<u>Μεγάλη Αἴτησις:</u>***
***Ὁ Διάκονος·*** Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεος σου, δεόμεθα σου, ἐπάκουσον καὶ ἐλέησον.
Ἔτι δεόμεθα ὑπὲρ μακαρίας μνήμης καὶ αἰωνίου ἀναπαύσεως τῆς ψυχῆς τοῦ κεκοιμημένου δούλου *(τῆς κεκοιμημένης δούλης)* τοῦ Θεοῦ ***(δεῖνος)*** *(ἱερέως, μοναχοῦ, μοναχῆς)* καὶ ὑπὲρ τοῦ συγχωρηθῆναι αὐτῷ (*αὐτῇ*) πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον.
Ὅπως Κύριος ὁ Θεὸς τάξῃ τὴν ψυχὴν αὐτοῦ (*αὐτῆς*) ἔνθα οἱ δίκαιοι ἀναπαύονται· τὰ ἐλέη τοῦ Θεοῦ, τὴν βασιλείαν τῶν οὐρανῶν καὶ ἄφεσιν τῶν αὐτοῦ (*αὐτῆς*) ἁμαρτιῶν, παρὰ Χριστῷ τῷ ἀθανάτῳ Βασιλεῖ καὶ Θεῷ ἡμῶν αἰτησώμεθα.
Τοῦ Κυρίου δεηθῶμεν. ***ὁ Χορός:*** Κύριε, ἐλέησον.
***Ἱερεύς·*** ὁ Θεὸς τῶν πνευμάτων καὶ πάσης σαρκός, ὁ τὸν θάνατον καταπατήσας, τὸν δὲ διάβολον καταργήσας, καὶ ζωὴν τῷ κόσμῳ σου δωρησάμενος· Αὐτός, Κύριε, ἀνάπαυσον καὶ τὴν ψυχὴν τοῦ κεκοιμημένου δούλου *(τῆς κεκοιμημένης δούλης)* σου ***(δεῖνος)***, καὶ τάξον αὐτὴν ἐν τόπῳ φωτεινῷ, ἐν τόπῳ χλοερῷ, ἐν τόπῳ ἀναψύξεως, ἔνθα ἀπέδρα πᾶσα ὀδύνη, λύπη καὶ στεναγμός. Πᾶν ἁμάρτημα τὸ παρ´ αὐτοῦ (*αὐτῆς*) πραχθὲν ἐν λόγῳ ἢ ἔργῳ ἢ διανοίᾳ, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς συγχώρησον· ὅτι οὐκ ἔστιν ἄνθρωπος ὃς ζήσεται καὶ οὐχ ἁμαρτήσει· σὺ γὰρ μόνος, Κύριε, ἐκτὸς ἁμαρτίας ὑπάρχεις· ἡ δικαιοσύνη σου, δικαιοσύνη εἰς τὸν αἰῶνα, καὶ ὁ λόγος σου ἀλήθεια.
***Ὁ Διάκονος·*** Τοῦ Κυρίου δεηθῶμεν. ***ὁ Χορός:*** Κύριε, ἐλέησον.
***Ἱερεύς·*** Ὅτι σὺ εἶ ἡ ἀνάστασις, ἡ ζωὴ καὶ ἡ μακαρία ἀνάπαυσις τοῦ κεκοιμημένου δούλου *(τῆς κεκοιμημένης δούλης)* σου ***(δεῖνος)***, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρί, καὶ τῷ παναγίῳ καί, ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ***Ἀναγνώστης·*** Ἀμήν.
***Ἦχος πλ. α'***
Ἀνάπαυσον Σωτὴρ ἡμῶν, μετὰ Δικαίων τὸν δοῦλόν σου *(τὴν δούλην σου)*, καὶ τοῦτον (*ταύτην*) κατασκήνωσον ἐν ταῖς αὐλαῖς σου, καθὼς γέγραπται, παρορῶν ὡς ἀγαθός, τὰ πλημμελήματα αὐτοῦ (*αὐτῆς*), τὰ ἑκούσια, καὶ τὰ ἀκούσια, καὶ πάντα τὰ ἐν ἀγνοίᾳ καὶ γνώσει φιλάνθρωπε.
Δόξα...Τὰ ἑκούσια, καὶ τὰ ἀκούσια, καὶ πάντα τὰ ἐν ἀγνοίᾳ καὶ γνώσει φιλάνθρωπε.
Καὶ νῦν... Ὁ ἐκ Παρθένου ἀνατείλας τῷ κόσμῳ, Χριστὲ ὁ Θεός, υἱοὺς φωτὸς δι' αὐτῆς ἀναδείξας, ἐλέησον ἡμᾶς.
***<u>Εἶτα ὁ ν´ψαλμός.</u>*** ΕΛΕΗΣΟΝ με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου· 4 ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με. 5 ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διαπαντός. 6 σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε. 7 ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου. 8 ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι. 9 ραντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι, πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι. 10 ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα. 11 ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον. 12 καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου. 13 μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ´ ἐμοῦ. 14 ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με. 15 διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι. 16 ρῦσαί με ἐξ αἱμάτων, ὁ Θεὸς ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου. 17 Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.18 ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.19 θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει. 20 ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη ῾Ιερουσαλήμ· 21 τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα· τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.
***Ἀντίφωνον Α´***
Ἐν τῷ θλίβεσθαί με, εἰσάκουσόν μου τῶν ὀδυνῶν, Κύριε σοὶ κράζω.***(δίς)***
Τοῖς ἐρημικοῖς, ἄπαυστος ὁ θεῖος πόθος ἐγγίνεται, κόσμου οὖσι τοῦ ματαίου ἐκτός. ***(δίς)***
Δόξα Πατρί... Ἁγίῳ Πνεύματι, τιμὴ καὶ δόξα, ὥσπερ Πατρί, πρέπει ἅμα καὶ Υἱῷ· διὰ τοῦτο ᾄσωμεν τῇ τριάδι Μονοκρατορίᾳ.
Καὶ νῦν... <u>τὸ αὐτό</u>
***Εἶτα στιχηρὰ Προσόμοια τοῦ Θεοφάνους***
***Ἦχος α'. Πανεύφημοι***
Δέσποτα Χριστὲ ἀνάπαυσον τὸν δοῦλόν σου *(τὴν δούλην σου)*
Σοῦ Σῶτερ δεόμεθα τῆς σῆς, γλυκείας μεθέξεως, τὸν μεταστάντα *(τὴν μεταστᾶσαν)* ἀνάπαυσον, καὶ κατασκήνωσον, ἐν σκηναῖς Δικαίων, ἐν μοναῖς Ἁγίων σου, ἐν τοῖς ἐπουρανίοις σκηνώμασι, τῇ εὐσπλαγχνίᾳ σου, παρορῶν τὰ παραπτώματα, καὶ παρέχων αὐτοῖς τὴν ἀνάπαυσιν.

Δέσποτα Χριστὲ ἀνάπαυσον τὸν δοῦλόν σου *(τὴν δούλην σου).*
Οὐδεὶς ἀναμάρτητος οὐδείς, τῶν ἀνθρώπων γέγονεν, εἰ μὴ σὺ μόνε Ἀθάνατε· διὸ τὸν δοῦλόν σου *(τὴν δούλην σου)*, ὡς Θεὸς οἰκτίρμον, ἐν φωτὶ κατάταξον, σὺν ταῖς χοροστασίαις Ἀγγέλων σου, τῇ εὐσπλαγχνίᾳ σου, ὑπερβαίνων ἀνομήματα, καὶ παρέχων αὐτῷ (*αὐτῇ*) τὴν συγχώρησιν.
Δόξα...Ὑπὲρ τὰ ὁρώμενα τὰ σά, Σῶτερ ἐπαγγέλματα, ἃ ὀφθαλμὸς οὐ τεθέαται, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν, οὐκ ἀνέβη πώποτε, ὧν τῆς προσενεστώσης μεθέξεως, τυχεῖν εὐδόκησον, τὸν πρὸς σὲ μεταχωρήσαντα *(τὴν πρὸς σὲ μεταχωρήσασαν)*, καὶ παράσχου ζωὴν τὴν αἰώνιον.
Καὶ νῦν ... Χριστὸν ἐκδυσώπησον τὸν σόν, τόκον Μητροπάρθενε, τὴν τῶν πταισμάτων συγχώρησιν, δοῦναι τῷ δούλῳ *(τῇ δούλῃ)* σου, τῷ (*τῇ*) σὲ Θεοτόκον, εὐσεβῶς κηρύξαντι (*κηρυξάσῃ*), καὶ λόγῳ ἀληθεῖ δογματίσαντι (δογματισάσῃ), καὶ τῆς λαμπρότητος, τῶν Ἁγίων καὶ φαιδρότητος ἀξιῶσαι ἐν τῇ Βασιλείᾳ αὐτοῦ.
***<u>Μικρὰ Αἴτησις:</u> Ὁ Διάκονος·*** Ἔτι καὶ ἔτι, ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν. ***Ὁ Χορὸς:*** Κύριε, ἐλέησον ***(γ´).***

Ἔτι δεόμεθα ὑπὲρ μακαρίας μνήμης καὶ αἰωνίου ἀναπαύσεως τῆς ψυχῆς τοῦ κεκοιμημένου δούλου *(τῆς κεκοιμημένης δούλης)* τοῦ Θεοῦ ***(δεῖνος)*** *(ἱερέως, μοναχοῦ, μοναχῆς)* καὶ ὑπὲρ τοῦ συγχωρηθῆναι αὐτῷ (*αὐτῇ*) πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον.

Ὅπως Κύριος ὁ Θεὸς τάξῃ τὴν ψυχὴν αὐτοῦ (*αὐτῆς*) ἔνθα οἱ δίκαιοι ἀναπαύονται· τὰ ἐλέη τοῦ Θεοῦ, τὴν βασιλείαν τῶν οὐρανῶν καὶ ἄφεσιν τῶν αὐτοῦ (*αὐτῆς*) ἁμαρτιῶν, παρὰ Χριστῷ τῷ ἀθανάτῳ Βασιλεῖ καὶ Θεῷ ἡμῶν αἰτησώμεθα. Τοῦ Κυρίου δεηθῶμεν. ***ὁ Χορός:*** Κύριε, ἐλέησον.

***ὁ Ἱερεύς:*** Ὅτι Σύ εἶ ἡ ἀνάστασις, ἡ ζωὴ καὶ ἡ μακαρία ἀνάπαυσις τοῦ κεκοιμημένου δούλου *(τῆς κεκοιμημένης δούλης)* σου ***(δεῖνος)***, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρί, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

***Ὁ χορός:*** Ἀμήν.

***Ἀντίφωνον Β' ΗΧΟΣ Β΄***

Ἐν τῷ οὐρανῷ τὰ ὄμματα, ἐκπέμπω μου τῆς καρδίας, πρὸς σὲ Σωτήρ, σῶσόν με σῇ ἐπιλάμψει. ***(δίς)***

Ἐλέησον ἡμᾶς τοὺς πταίοντάς σοι πολλὰ καθ' ἑκάστην ὥραν, ὦ Χριστέ μου, καὶ δὸς πρὸ τέλους τρόπους, τοῦ μετανοεῖν σοι. ***(δίς)***

Δόξα Πατρί... Ἁγίῳ Πνεύματι, τὸ βασιλεύειν πέλει, τὸ ἁγιάζειν, τὸ κινεῖν τὴν κτίσιν· Θεὸς γὰρ ἐστιν, ὁμοούσιος Πατρὶ καὶ Λόγῳ.

Καὶ νῦν... τὸ αὐτό

***Νεκρώσιμα Προσόμοια τοῦ Θεοφάνους, Ἦχος β', Ὅτε ἐκ τοῦ ξύλου σε***

Δέσποτα Χριστὲ ἀνάπαυσον τὸν δοῦλόν σου *(τὴν δούλην σου)*.

Ῥύμην, τοῦ θανάτου καὶ φθοράν, σοῦ τῷ ζωηφόρῳ θανάτῳ, καθεῖλες Δέσποτα· πᾶσι δὲ ἐπήγασας ζωὴν αἰώνιον, καὶ νεκροῖς ἐξανάστασιν, θνητοῖς ἐδωρήσω· ὅθεν σου δεόμεθα, Σῶτερ ἀνάπαυσον, πίστει τὸν (*τὴν*) πρὸς σὲ μεταστάντα (*μεταστᾶσαν*), καὶ τῆς ἀκηράτου σου δόξης, τοῦτον (*ταύτην*) καταξίωσον φιλάνθρωπε.

Δέσποτα Χριστὲ ἀνάπαυσον τὸν δοῦλόν σου *(τὴν δούλην σου)*.

Ἵνα, τοὺς ἀνθρώπους κοινωνοὺς θείας Βασιλείας ἐργάσῃ, Σταυρὸν ὑπέμεινας, θάνατον ἑκούσιον καταδεξάμενος· διὰ τοῦτο δεόμεθα, τῇ σῇ εὐσπλαγχνίᾳ, μέτοχον ἀνάδειξον τῆς Βασιλείας σου, πίστει τὸν (*τὴν*) πρὸς σὲ μεταστάντα (*μεταστᾶσαν*), καὶ τῆς ἀϊδίου σου δόξης, καὶ μακαριότητος ἀξίωσον.

Δόξα...Τρόμῳ τῷ φρικτῷ καὶ φοβερῷ, βήματι τῷ σῷ παρεστῶτες, οἱ ἀπ' αἰῶνος νεκροί, ψῆφον ἀναμένουσι, τὴν σὴν δικαίαν Σωτήρ, καὶ τὴν θείαν ἐκδέχονται, δικαιοκρισίαν, τότε φεῖσαι Δέσποτα, Σῶτερ τοῦ δούλου σου *(τῆς δούλης σου)*, πίστει τὸν (*τὴν*) πρὸς σὲ μεταστάντα (*μεταστᾶσαν*), καὶ τῆς ἀϊδίου τρυφῆς σου, καὶ μακαριότητος ἀξίωσον.

Καὶ νῦν ... Εὔας τῆς προμήτορος Ἁγνή, σὺ τὴν ὀφειλὴν συλλαβοῦσα, Θεὸν ἀπήτησας, τὸν τὴν ἀφθαρσίαν τε, καὶ τὴν ἀνάστασιν, τοῖς πιστοῖς χαριζόμενον, καὶ τῇ ἀθανάτῳ, δόξῃ στεφανώσαντα, τοὺς σὲ δοξάζοντας· ὃν νῦν δυσωποῦσα μὴ παύσῃ, τοῦτον (*ταύτην*) ἐν φωτὶ κατατάξαι, τῆς αὐτοῦ λαμπρότητος Θεόνυμφε.

***Μικρὰ Αἴτησις...***

***Ἀντίφωνον Γ'. Ἦχος γ'.***

Τὴν αἰχμαλωσίαν Σιών, σὺ ἐξείλου ἐκ Βαβυλῶνος κἀμὲ ἐκ τῶν παθῶν, πρός ζωήν ἕλκυσον Λόγε. ***(δίς)***

Ἐν τῷ νότῳ οἱ σπείροντες δάκρυσιν ἐνθέοις, θεριοῦσι στάχυας, ἐν χαρᾷ ἀειζωΐας. ***(δίς)***

Δόξα Πατρὶ... Ἁγίῳ Πνεύματι, πᾶσα ἀγαθοδωρία, ὡς Πατρὶ καὶ Υἱῷ συναστράπτει, ἐν ᾧ τὰ πάντα ζῇ καὶ κινεῖται.

Καὶ νῦν... τὸ αὐτό

***Στιχηρὰ Προσόμοια. Ἦχος γ'. Τῷ τύπῳ τοῦ Σταυροῦ***

Δέσποτα Χριστὲ ἀνάπαυσον τὸν δοῦλόν σου *(τὴν δούλην σου)*.

Δοξάζω τὸν Σταυρόν σου τὸν τίμιον, δι' οὗ ζωὴ δεδώρηται, καὶ τρυφῆς ἡ ἀπόλαυσις, τοῖς ἐν πίστει καὶ πόθῳ σε ὑμνοῦσι, μόνε Πολυέλεε. Διὸ βοῶμέν σοι Χριστὲ ὁ Θεός· τὸν μεταστάντα *(τὴν μεταστᾶσαν)* ἐξ ἡμῶν ἀνάπαυσον, ἔνθα πάντων ἐστίν, εὐφραινομένων ἡ κατοικία ἐν σοί.

Δέσποτα Χριστὲ ἀνάπαυσον τὸν δοῦλόν σου *(τὴν δούλην σου)*.

Ὁ μόνος ἐλεήμων, καὶ εὔσπλαγχνος, ὁ ἔχων ἀκατάληπτον ἀγαθότητος πέλαγος, καὶ γινώσκων τὴν φύσιν τῶν ἀνθρώπων, ἣν ἐδημιούργησας· σὲ ἱκετεύομεν Χριστὲ ὁ Θεός· τὸν μεταστάντα *(τὴν μεταστᾶσαν)* ἐξ ἡμῶν ἀνάπαυσον, ἔνθα πάντων ἐστίν, εὐφραινομένων ἡ κατοικία ἐν σοί.

Δόξα... Ὑπνώσας ἐν τῷ τάφῳ ὡς ἄνθρωπος, δυνάμει ἀηττήτῳ σου, ὡς Θεὸς ἐξανέστησας, τοὺς ἐν τάφοις ὑπνοῦντας, ἀσιγήτως ὕμνον σοι προσφέροντας. Διὸ βοῶμέν σοι Χριστὲ ὁ Θεός· τὸν μεταστάντα *(τὴν μεταστᾶσαν)* ἐξ ἡμῶν ἀνάπαυσον, ἔνθα πάντων ἐστίν, εὐφραινομένων ἡ κατοικία ἐν σοί.

Καὶ νῦν...Λαμπάδα νοητὴν σε βαστάζουσαν, τὸ φέγγος τῆς Θεότητος, ὁμιλῆσαν παχύτητι τῇ ἀνθρώπων οὐσίᾳ, Θεοτόκε πάντες ἐπιστάμεθα. Διὸ τὸν σὸν δυσώπει Υἱὸν καὶ Θεόν· τὸν μεταστάντα *(τὴν μεταστᾶσαν)* ἐξ ἡμῶν αὐλίζεσθαι, ἔνθα πάντων ἐστίν, εὐφραινομένων ἡ κατοικία Ἁγνή, δοξάζειν σε τὴν Πανάμωμον.

***Μικρὰ Αἴτησις...***

***Ἀντίφωνον Δ΄. Ἦχος δ'.***

**Ἐ**κ νεότητός μου πολλὰ πολεμεῖ με πάθη, ἀλλ' αὐτὸς ἀντιλαβοῦ, καὶ σῶσον Σωτήρ μου. ***(δίς)***

**Ο**ἱ μισοῦντες Σιών, αἰσχύνθητε ἀπὸ τοῦ Κυρίου, ὡς χόρτος γάρ, πυρὶ ἔσεσθε ἀπεξηραμμένοι. ***(δίς)***

Δόξα πατρὶ... **Ἁ**γίῳ Πνεύματι, πᾶσα ψυχὴ ζωοῦται, καὶ καθάρσει ὑψοῦται λαμπρύνεται, τῇ Τριαδικῇ Μονάδι ἱεροκρυφίως.

Καὶ νῦν... τὸ αὐτό

***Στιχηρὰ Προσόμοια. Ἦχος δ' Ἔδωκας σημείωσιν***

Δέσποτα Χριστὲ ἀνάπαυσον τὸν δοῦλόν σου *(τὴν δούλην σου)*.

Ὄντως φοβερώτατον, τὸ τοῦ θανάτου μυστήριον! πῶς ψυχὴ ἐκ τοῦ σώματος, βιαίως χωρίζεται, ἐκ τῆς ἁρμονίας, καὶ τῆς συμφυΐας, ὁ φυσικώτατος δεσμός, θείῳ βουλήματι ἀποτέμνεται; Διό σε ἱκετεύομεν· τὸν μεταστάντα *(τὴν μεταστᾶσαν)* ἀνάπαυσον, ἐν σκηναῖς τῶν Ἁγίων σου, Ζωοδότα φιλάνθρωπε.

Δέσποτα Χριστὲ ἀνάπαυσον τὸν δοῦλόν σου *(τὴν δούλην σου)*.

Ὕπνος ἀναδέδεικται, τῶν πιστευόντων ὁ θάνατος, σοῦ τεθέντος ἐν μνήματι, τοῦ πάντων δεσπόζοντος, καὶ τὸ τοῦ θανάτου, κράτος λελυκότος, καὶ καταργήσαντος αὐτοῦ, τὴν δυναστείαν τὴν πολυχρόνιον. Διό σε ἱκετεύομεν· τὸν μεταστάντα *(τὴν μεταστᾶσαν)* ἀνάπαυσον, ἐν σκηναῖς τῶν Ἁγίων σου, Ζωοδότα φιλάνθρωπε.

Δόξα...Σὺ δικαιοσύνη τε, ἁγιασμὸς ἡμῖν γέγονας, καὶ ψυχῶν ἀπολύτρωσις· Πατρὶ γὰρ προσήγαγες, δεδικαιωμένους, καὶ λελυτρωμένους, ἀναδεξάμενος ἡμῶν, τὸ ὀφειλόμενον ἐπιτίμιον· καὶ νῦν ἐκδυσωποῦμέν σε· τὸν μεταστάντα *(τὴν μεταστᾶσαν)* ἀνάπαυσον, ἐν χαρᾷ καὶ φαιδρότητι, εὐεργέτα Σωτὴρ ἡμῶν.

Καὶ νῦν ... Ῥήσεσιν ἑπόμενοι, τῶν θεηγόρων πανάμωμε, Θεοτόκον φρονοῦμέν σε· Θεὸν γὰρ ἐγέννησας, σεσωματωμένον, ἀπερινοήτως, τὸν λυτρωσάμενον ἡμᾶς, τοὺς αἰχμαλώτους τοῖς παραπτώμασιν· ὃν καὶ νῦν ἐκδυσώπησον, τὸν μεταστάντα *(τὴν μεταστᾶσαν)* οἰκέτην σου, ταῖς οἰκείαις ἐλλάμψεσι, καταυγάσαι Πανάχραντε.

***Μικρὰ Αἴτησις...***

***Ἀντίφωνον Ε΄. Ἦχος πλ. α'.***

**Ἐ**ν τῷ θλίβεσθαί με Δαυϊτικῶς, ᾄδω σοι Σωτήρ μου. Ῥῦσαί μου τὴν ψυχὴν ἐκ γλώσσης δολίας. ***(δίς)***

**Τ**οῖς ἐρημικοῖς ζωὴ μακαρία ἐστί, θεϊκῷ ἔρωτι πτερουμένοις. *(δίς)*

Δόξα Πατρί... **Ἁ**γίῳ Πνεύματι, περικρατεῖται πάντα τὰ ὁρατά τε σὺν τοῖς ἀοράτοις· αὐτοκρατὲς γὰρ ὄν, τῆς Τριάδος ἓν ἐστιν ἀψεύστως.

Καὶ νῦν**...** τὸ αὐτό

***Στιχηρὰ Προσόμοια. Ἦχος πλ. α'. Χαίροις ἀσκητικῶν***

Δέσποτα Χριστὲ ἀνάπαυσον τὸν δοῦλόν σου *(τὴν δούλην σου)*.

Αἴγλῃ τοῦ σοῦ προσώπου Χριστέ, τὸν μεταστάντα *(τὴν μεταστᾶσαν)* ὡς οἰκτίρμων καταύγασον, σκηνώσας εἰς τόπον χλόης, ἐπὶ ὑδάτων τῆς σῆς, ἀκραιφνοῦς καὶ θείας ἀναπαύσεως, ἐν κόλποις τοῖς ὀρεκτοῖς, Ἀβραὰμ τοῦ προπάτορος· ἔνθα τὸ φῶς σου, καθαρῶς ἐποπτεύεται, καὶ προχέονται, αἱ πηγαὶ τῆς χρηστότητος· ἔνθα περιχορεύουσι, τρανῶς ἀγαλλόμεναι, αἱ τῶν Δικαίων χορεῖαι, περὶ τὴν σὴν ἀγαθότητα· μεθ' ὧν κατατάξας, τὸν (*τὴν*) οἰκέτην σου παράσχου, τὸ μέγα ἔλεος.

Δέσποτα Χριστὲ ἀνάπαυσον τὸν δοῦλόν σου (τὴν δούλην σου).

Ψάλλειν παναρμονίῳ φωνῇ, δοξολογοῦντα (*δοξολογοῦσαν*) τὸ σὸν κράτος εὐδόκησον, οἰκτίρμον, τὸν μεταστάντα *(τὴν μεταστᾶσαν)*, ἐκ τῶν προσκαίρων πρὸς σέ, τὸν Δεσπότην πάντων καὶ φιλάνθρωπον· διδοὺς ὡραιότητι, τοῦ σοῦ κάλλους ἐλλάμπεσθαι, καὶ τῆς γλυκείας, καὶ τερπνῆς μετουσίας σου, ἀπολαύειν τε, καὶ τρυφᾶν καθαρώτερον· ἔνθα περὶ τὸν θρόνον σου, χορεύουσιν Ἄγγελοι, καὶ τῶν Ἁγίων οἱ δῆμοι, χαρμονικῶς περιέπουσι· μεθ' ὧν τῷ σῷ

δούλῳ *(τῇ σῇ δούλῃ),* τὴν ἀνάπαυσιν παράσχου, καὶ μέγα ἔλεος.

Δόξα… Ὅπου τῶν Προφητῶν ὁ χορός, τῶν Ἀποστόλων καὶ Μαρτύρων τὰ τάγματα, καὶ πάντων τῶν ἀπ' αἰῶνος, δικαιωθέντων τῷ σῷ, σωτηρίῳ πάθει καὶ τῷ Αἵματι, δι' οὗ ἐξηγόρασας τὸν αἰχμάλωτον ἄνθρωπον· ἐκεῖ τὸν (*τὴν*) πίστει, κοιμηθέντα (*κοιμηθεῖσαν*) ἀνάπαυσον, ὡς φιλάνθρωπος, συγχωρῶν καὶ τὰ πταίσματα· μόνος γὰρ ἀναμάρτητος, ἐν γῇ πεπολίτευσαι, Ἅγιος μόνος καὶ μόνος, ἐν τεθνεῶσιν ἐλεύθερος. Διὸ τῷ σῷ δούλῳ *(τῇ σῇ δούλῃ),* τὴν ἀνάπαυσιν παράσχου, καὶ μέγα ἔλεος.

Καὶ νῦν … Νόμῳ τῆς ἁμαρτίας ἡμᾶς, δεδουλωμένους ἠλευθέρωσας Δέσποινα, ἐν μήτρᾳ τὸν Νομοδότην, καὶ Βασιλέα Χριστόν, συλλαβοῦσα μόνη Μητροπάρθενε· δι' οὗ δικαιούμεθα, δωρεᾷ τε καὶ χάριτι· ὃν νῦν δυσώπει, τὰς ψυχὰς τῶν ὑμνούντων σε, Θεομήτορα, βίβλῳ ζώντων ἐγγράψασθαι· ὅπως τῇ μεσιτείᾳ σου, σωθέντες Πανάμωμε, τῆς τοῦ Υἱοῦ σου εὐκταίας, ἀπολυτρώσεως τύχωμεν, αὐτὸν προσκυνοῦντες, τὸν παρέχοντα τῷ Κόσμῳ, τὸ μέγα ἔλεος.

***Μικρὰ Αἴτησις…***

***Ἀντίφωνον ΣΤ΄. Ἦχος πλ. Β'.***

**Ἐ**ν τῷ οὐρανῷ τοὺς ὀφθαλμούς μου αἴρω, πρός σε Λόγε· οἴκτειρόν με, ἵνα ζῶ σοι. ***(δίς)***

**Ἐ**λέησον ἡμᾶς τοὺς ἐξουθενημένους, καταρτίζων εὔχρηστα, σκεύη σου Λόγε. ***(δίς)***

Δόξα Πατρὶ… **Ἁ**γίῳ Πνεύματι, πανσωστικὴ αἰτία· εἴ τινι τοῦτο κατ΄ ἀξίαν πνεύσει, τάχει ἐξαίρει τῶν τῆς γῆς, πτεροῖ, αὔξει, τάττει ἄνω.

Καὶ νῦν… τὸ αὐτό

***Στιχηρὰ Προσόμοια. Ἦχος πλ.β΄. Ὅλην ἀποθέμενοι***

Δέσποτα Χριστὲ ἀνάπαυσον τὸν δοῦλόν σου *(τὴν δούλην σου).*

Ἔχων ἀκατάληπτον, τὴν είς ἡμᾶς εὐσπλαγχνίαν, καὶ πηγὴν ἀκένωτον, θεϊκῆς χρηστότητος πολυέλεε, τὸν (*τὴν*) πρὸς σὲ Δέσποτα, μεταβεβηκότα (*μεταβεβηκυΐαν*), ἐν γῇ ζώντων κατασκήνωσον, είς τὰ σκηνώματα, τὰ ἀγαπητὰ καὶ ποθούμενα, κατάσχεσιν δωρούμενος, τὴν διηνεκῶς διαμένουσαν· σὺ γὰρ ὑπὲρ πάντων, ἐξέχεας τὸ αἷμά σου Χριστέ, καὶ ζωηφόρῳ τιμήματι, Κόσμον ἐξηγόρασας.

Δέσποτα Χριστὲ ἀνάπαυσον τὸν δοῦλόν σου *(τὴν δούλην σου).*

Νέκρωσιν ὑπέμεινας, ζωοποιὸν ἑκουσίως, καὶ ζωὴν ἐπήγασας, καὶ τρυφὴν ἀΐδιον, πιστοῖς δέδωκας· ἐν ᾗ κατάταξον, τὸν κεκοιμημένον *(τὴν κεκοιμημένην),* ἐπ' ἐλπίδι ἀναστάσεως, τὰ τούτου (*ταύτης*) πταίσματα, πάντα συγχωρῶν ἀγαθότητι, ὡς μόνος ἀναμάρτητος, μόνος ἀγαθὸς καὶ φιλάνθρωπος· ἵνα διὰ πάντων, ὑμνῆταί σου τὸ ὄνομα Χριστέ, καὶ σεσωσμένοι δοξάζωμεν, τὴν φιλανθρωπίαν σου.

Δόξα… Ζώντων κυριεύοντα, θεαρχικῇ ἐξουσίᾳ, καὶ νεκρῶν δεσπόζοντα, σὲ Χριστὲ γινώσκοντες ἱκετεύομεν· τὸν πιστὸν δοῦλον σου *(τὴν πιστὴν δούλην σου),* τὸν (*τὴν*) πρὸς σὲ τὸν μόνον, εὐεργέτην ἐκδημήσαντα (*ἐκδημήσασαν*), αὐτὸν (*αὐτὴν*) ἀνάπαυσον, σὺν τοῖς ἐκλεκτοῖς σου φιλάνθρωπε, ἐν τόπῳ ἀναψύξεως, ἐν ταῖς τῶν Ἁγίων λαμπρότησι· θελητὴς ἐλέους· ὑπάρχεις γὰρ καὶ σῴζεις ὡς Θεός, οὓς κατ' εἰκόνα σου ἔπλασας, μόνε Πολυέλεε.

Καὶ νῦν … ***Θεοτοκίον, Ὅμοιον.*** Ὤφθης ἐνδιαίτημα, θεοπρεπὲς Παναγία· Θεὸν γὰρ ἐχώρησας, καὶ Θεὸν ἐγέννησας ἀπειρόγαμε, βροτὸν ὁρώμενον, ἐν δυσὶν οὐσίαις, ἐν μιᾷ τῇ ὑποστάσει δὲ· αὐτὸν δυσώπησον, τὸν μονογενῆ καὶ πρωτότοκον, τὸν σὲ Παρθένον ἄμωμον, καὶ μετὰ τὸν τόκον φυλάξαντα· ψυχὴν ἀναπαῦσαι, τοῦ (*τῆς*) πίστει κοιμηθέντος (*κοιμηθείσης*) ἐν φωτί, ἐν ἀκηράτῳ φαιδρότητι, καὶ μακαριότητι.

***Μικρὰ Αἴτησις…***

***Ἀντίφωνον Ζ΄. Ἦχος Βαρύς.***

**Τ**ὴν αἰχμαλωσίαν Σιών, ἐκ πλάνης ἐπιστρέψας, κἀμὲ Σωτὴρ ζώωσον, ἐξαίρων δουλοπαθείας. ***(δίς)***

**Ἐ**ν τῷ νότῳ ὁ σπείρων θλίψεις, νηστείας μετὰ δακρύων, οὗτος χαρᾶς δρέψεται, δράγματα ἀειζωοτροφίας. ***(δίς)***

Δόξα Πατρὶ… **Ἁ**γίῳ Πνεύματι, πηγὴ τῶν θείων θησαυρισμάτων, ἐξ οὗ σοφία, σύνεσις, φόβος· αὐτῷ αἴνεσις, δόξα, τιμή, καὶ κράτος.

Καὶ νῦν… τὸ αὐτό

***Στιχηρὰ Προσόμοια. Ἦχος Βαρύς.***

Δέσποτα Χριστὲ ἀνάπαυσον τὸν δοῦλόν σου *(τὴν δούλην σου).*

Νενεκρωμένος ὠράθης, ἐπὶ Σταυροῦ μόνε ἀθάνατε, καὶ ἐν τάφῳ ὡς θνητὸς ἐτέθης, νεκρώσεως καὶ φθορᾶς καὶ θανάτου, τοὺς ἀνθρώπους λυτρούμενος· ἀλλ' ὡς πέλαγος εὐσπλαγχνίας ὑπάρχων ἀκένωτον, καὶ πηγὴ ἀγαθότητος, τὴν ψυχὴν τοῦ σοῦ δούλου *(τῆς σῆς δούλης),* τοῦ (*τῆς*) ἐξ ἡμῶν μεταστάντος (*μεταστάσης*) ἀνάπαυσον.

Δέσποτα Χριστὲ ἀνάπαυσον τὸν δοῦλόν σου *(τὴν δούλην σου).*

Τῷ ἀκηράτῳ σου κάλλει, καὶ γλυκασμῷ τῆς σῆς ὡραιότητος, ἀκτῖσιν ἐλλάμπεσθαι, τὸν (*τὴν*) πρὸς σὲ μεταστάντα (*μεταστᾶσαν*), Ἀγαθὲ καταξίωσον, ἐν ἀΰλῳ φωτοχυσίᾳ τῆς φωτοφανείας σου, σὺν Ἀγγέλοις χορεύοντα (*χορεύουσαν*) περὶ σὲ τὸν Δεσπότην, καὶ Βασιλέα τῆς δόξης καὶ Κύριον.

Δόξα…Ὡς ἀδαπάνητον ἔχων, τῶν δωρεῶν τὴν μεγαλοπρέπειαν, ὡς θησαυρὸν ἀνελλιπῆ πλουσίας χρηστότητος, τὸν (*τὴν*) πρὸς σὲ μεταστάντα (*μεταστᾶσαν*), ὡς Θεὸς κατασκήνωσον, ἐν τῇ χώρᾳ τῶν ἐκλεκτῶν σου, ἐν τόπῳ ἀνέσεως, ἐν τῷ οἴκῳ τῆς δόξης σου, ἐν τρυφῇ Παραδείσου, ἐν τῷ τῶν Παρθένων νυμφῶνι, ὡς εὔσπλαγχνος.

Καὶ νῦν… ***Θεοτοκίον, Ὅμοιον***. Νόμου τὸ πλήρωμα τίκτεις, τὸν Λυτρωτὴν σάρκα γενόμενον· οὐ γὰρ ἐγένετο τοῖς πρίν, ἐν νόμῳ δικαίωσις· ἀλλ΄ἡμᾶς γὰρ ὁ Χριστὸς νῦν σταυρωθεὶς ἐδικαίωσεν. Ὡς οὖν ἔχουσα παρρησίαν, ὡς Μήτηρ ἱκέτευε, τὸν Υἱόν σου τὸν εὔσπλαγχνον, τὴν ψυχὴν ἀναπαῦσαι, τοῦ (*τῆς*) εὐσεβῶς μεταστάντος (*μεταστάσης*) Πανύμνητε.

***Μικρὰ Αἴτησις…***

***Ἀντίφωνον Η΄. Ἦχος Πλάγ. Δ΄.***

**Ἐ**κ νεότητός μου ὁ ἐχθρὸς με πειράζει, ταῖς ἡδοναῖς φλέγει με· ἐγὼ δὲ πεποιθώς, ἐν σοὶ Κύριε τροποῦμαι τοῦτον. ***(δίς)***

**Ο**ἱ μισοῦντες Σιών, γενηθήτωσαν δή, πρὶν ἐκσπασθῆναι ὡς χόρτος· συγκόψει γὰρ Χριστός, αὐχένας αὐτῶν, τομῇ βασάνων. ***(δίς)***

Δόξα Πατρὶ… **Ἁ**γίῳ Πνεύματι, τὸ ζῆν τὰ πάντα, φῶς ἐκ φωτός, Θεὸς μέγας· σὺν Πατρὶ ὑμνοῦμεν αὐτὸ, καὶ τῷ Λόγῳ.

Καὶ νῦν… τὸ αὐτό

***Στιχηρὰ Προσόμοια. Ἦχος Πλάγ. Δ΄. Ὢ τοῦ παραδόξου θαύματος***

Δέσποτα Χριστὲ ἀνάπαυσον τὸν δοῦλόν σου *(τὴν δούλην σου).*

Βασιλικῶς μοι ὑπέγραψας, ἐλευθερίαν βαφαῖς, ἐρυθραῖς τοὺς δακτύλους σου, αἱματώσας Δέσποτα, καὶ φοινίξας σῷ αἵματι· καὶ νῦν ἐν πίστει καθικετεύομεν· τοῖς πρωτοτόκοις σου συναρίθμησον, καὶ τῶν Δικαίων σου, τῆς χαρᾶς ἀξίωσον ἐπιτυχεῖν, τὸν μεταφοιτήσαντα *(τὴν μεταφοιτήσασαν),* πρὸς σὲ τὸν εὔσπλαγχνον.

Δέσποτα Χριστὲ ἀνάπαυσον τὸν δοῦλόν σου *(τὴν δούλην σου).*

Ἱεραρχήσας ὡς ἄνθρωπος, σφαγιασθεὶς σεαυτόν, προσφορὰν προσενήνοχας, τῷ Πατρὶ τὸν ἄνθρωπον, τῆς φθορᾶς ἐξαιρούμενος, τὸν μεταστάντα *(τὴν μεταστᾶσαν)* οὖν ὡς φιλάνθρωπος, ἐν τῇ τῶν ζώντων χώρᾳ κατάταξον, ἔνθα οἱ χείμαρροι, τῆς τρυφῆς προχέονται, ἔνθα πηγαί, τῆς ἀϊδιότητος, ἀναβλυστάνουσιν.

Δόξα… ***Ὅμοιον***. Βάθει σοφίας ἀρρήτου σου, ὁροθετεῖς τὴν ζωήν, καὶ προβλέπεις τὸν θάνατον, καὶ πρὸς βίον ἕτερον, μετοικίζεις τὸν ἄνθρωπον· ὃν (*ἣν*) προσελάβου τοίνυν κατάταξον, ἐπὶ ὑδάτων τῆς ἀναπαύσεως, ἐν τῇ λαμπρότητι, τῶν Ἁγίων Κύριε, ἔνθα φωνή, τῆς ἀγαλλιάσεως, καὶ τῆς αἰνέσεως.

Καὶ νῦν… ***Θεοτοκίον***. Ὡς συλλαβοῦσα τὸν ἄναρχον, Λόγον Θεοῦ καὶ Θεόν, μητρικῇ παρρησίᾳ σου, ἐκτενῶς ἱκέτευε, κατατάξαι τὸν δοῦλόν σου *(τὴν δούλην σου),* ἔνθα χορεία ἡ ἀκατάλυτος, εὐφραινομένων, καὶ εὐφημούντων σε, ἔνθα λαμπρότητες, αἱ διαιωνίζουσαι, καὶ ὁ γλυκύς, ἦχος ἑορτάζοντος, Θεογεννήτρια.

***Μικρὰ Αἴτησις…***

***Εἶτα ὁ Α΄χορὸς ψάλλει τὸ Κοντάκιον Ἦχος πλ. δ'***

Μετὰ τῶν Ἁγίων ἀνάπαυσον, Χριστε, τὴν ψυχὴν τοῦ δούλου *(τῆς δούλης)* σου, ἔνθα οὐκ ἔστι πόνος, οὐ λύπη, οὐ στεναγμός, ἀλλὰ ζωὴ ἀτελεύτητος.

***Ὁ Οἶκος ἀναγινώσκεται χῦμα.***

Αὐτὸς μόνος ὑπάρχεις ἀθάνατος, ὁ ποιήσας καὶ πλάσας τὸν ἄνθρωπον· οἱ βροτοὶ οὖν ἐκ γῆς διεπλάσθημεν, καὶ εἰς γῆν τὴν αὐτὴν πορευσόμεθα, καθὼς ἐκέλευσας ὁ πλάσας με καὶ εἰπών μοι· ὅτι γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ· ὅπου πάντες βροτοὶ πορευσόμεθα, ἐπιτάφιον θρῆνον ποιοῦντες ᾠδήν, το· Ἀλληλούϊα.

***Θεοτοκίον (ἀναγινώσκεται χῦμα).***

Παναγία Παρθένε Θεόνυμφε ἡ τεκοῦσα τὸ φῶς τὸ ἀπρόσιτον, δυσωπῶ, ἱκετεύω, καὶ δέομαι, δυσωποῦσα μὴ παύσῃ πρὸς Κύριον, ὑπὲρ τοῦ δούλου σου *(τῆς δούλης σου)* Δέσποινα, ὅπως εὕρῃ ἐκεῖ ἄφεσιν πταισμάτων, ἐν ἡμέρᾳ τῆς κρίσεως Ἄχραντε· δύνασαι γὰρ ὡς μήτηρ, ἱκετεύειν τὸν σὸν Υἱὸν καὶ Θεὸν ἡμῶν, ὅπως ψάλλωμεν· Ἀλληλούϊα.

***Εἶτα ὁ Β΄χορὸς ψάλλει τὸ Κοντάκιον ὁμοίως.Ἦχος πλ. δ'***
Μετὰ τῶν Ἁγίων ἀνάπαυσον, Χριστε, τὴν ψυχὴν τοῦ δούλου (τῆς δούλης) σου, ἔνθα ούκ ἔστι πόνος, ού λύπη, ού στεναγμός, ἀλλὰ ζωὴ ἀτελεύτητος.
***ΟΙ ΜΑΚΑΡΙΣΜΟΙ, Ἦχος β΄.***
Ἐν τῇ Βασιλείᾳ σου μνήσθητι ἡμῶν, Κύριε, ὅταν ἔλθῃς ἐν τῇ Βασιλείᾳ σου.
Μακάριοι οἱ Πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν.
Μακάριοι οἱ πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται.
Μακάριοι οἱ πραεῖς, ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν.
Μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην, ὅτι αὐτοὶ χορτασθήσονται.
Μακάριοι οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται.
***(ψαλτά)*** Μνήσθητι εὔσπλαγχνε καὶ ἡμῶν, καθὼς ἐμνημόνευσας τοῦ Ληστοῦ, ἐν τῇ Βασιλείᾳ τῶν οὐρανῶν.
Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται.
Πάντες οἱ φοβούμενοι τὸν Θεόν, ἐκεῖ εὐφρανθήσονται ἐν αὐτῷ, ἐν τῇ Βασιλείᾳ τῶν οὐρανῶν.
Μακάριοι οἱ εἰρηνοποιοί, ὅτι αὐτοὶ υἱοὶ Θεοῦ κληθήσονται.
Ἀσκήσει δουλεύσαντά σοι Χριστέ, καὶ ὀρθοδοξίᾳ ἐπὶ τῆς γῆς, δόξασον Σωτὴρ ἐν τοῖς οὐρανοῖς.
Μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης, ὅτι αὐτῶν ἐστιν ἡ Βασιλεία τῶν οὐρανῶν.
Ἐν πίστει καὶ ἐλπίδι θεοπρεπῶς, καὶ ἀγάπῃ ζήσαντα ἐπὶ τῆς γῆς, δόξασον Σωτὴρ ἐν τοῖς οὐρανοῖς.
Μακάριοι ἐστε, ὅταν ὀνειδίσωσιν ὑμᾶς καὶ διώξωσι καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα, καθ' ὑμῶν ψευδόμενοι, ἕνεκεν ἐμοῦ.
Ἀνάπαυσον τὸν δοῦλον σου *(τὴν δούλην σου)* ὁ Θεός, μετὰ τῶν Ἁγίων ὡς ἀγαθὸς, ἐν τῇ Βασιλείᾳ τῶν οὐρανῶν.
Χαίρετε καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς.
Τὸν κόσμον λιπόντα καὶ ἐν σεμνῇ πολιτείᾳ ζήσαντα εὐσεβῶς, δόξασον Σωτὴρ ἐν τοῖς οὐρανοῖς.
Δόξα...Μίαν Θεαρχίαν οἱ εὐσεβεῖς, ἐχόμενοι πίστεως, ἐν τρισί, προσώποις δοξάζομεν εὐσεβῶς.
Καὶ νῦν...Πάντες μακαρίζομέν σε Ἁγνή· ἀσπόρως γὰρ ἔτεκες ἐν σαρκί, Θεὸν Βασιλέα τῶν οὐρανῶν.
(***Ψέλνουμε***:) Μακαρία ἡ ὁδός, ᾗ πορεύει σήμερον, ὅτι ἡτοιμάσθη σοὶ τόπος ἀναπαύσεως. ***(τρίς)***
***Ὁ Κανονάρχης:*** Προκείμενον τοῦ Ἀποστόλου Ἦχος γ'. ***Διάκονος***: Πρόσχωμεν.
***Ἀναγνώστης: Στίχος***: Ἐπίστρεψον ψυχή μου εἰς τὴν ἀνάπαυσίν σου. ***Διάκονος***: Σοφία.
***Ἀναγνώστης***: Πρὸς Θεσσαλονικεῖς Α' Ἐπιστολῆς Παύλου τὸ ἀνάγνωσμα.
***Διάκονος***: Πρόσχωμεν. ***Ἀναγνώστης***: Ἀδελφοί, Οὐ θέλω ὑμᾶς ἀγνοεῖν περὶ τῶν κεκοιμημένων, ἵνα μὴ λυπῆσθε καθὼς καὶ οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα. Εἰ γὰρ πιστεύομεν ὅτι Ἰησοῦς ἀπέθανε καὶ ἀνέστη, οὕτω καὶ ὁ Θεος τοὺς κοιμηθέντας διὰ τοῦ Ἰησοῦ ἄξει σὺν αὐτῷ. Τοῦτο γὰρ ὑμῖν λέγομεν ἐν λόγῳ Κυρίου, ὅτι ἡμεῖς οἱ ζῶντες, οἱ περιλειπόμενοι εἰς τὴν παρουσίαν τοῦ Κυρίου, οὐ μὴ φθάσωμεν τοὺς κοιμηθέντας· ὅτι αὐτὸς ὁ Κύριος, ἐν κελεύσματι, ἐν φωνῇ ἀρχαγγέλου καὶ ἐν σάλπιγγι Θεοῦ, καταβήσεται ἀπ' οὐρανοῦ καὶ οἱ νεκροὶ ἐν Χριστῷ ἀναστήσονται πρῶτον. Ἔπειτὰ ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι, ἅμα σὺν αὐτοῖς ἁρπαγησόμεθα ἐν νεφέλαις, εἰς ἀπάντησιν τοῦ Κυρίου εἰς ἀέρα, καὶ οὕτω πάντοτε σὺν Κυρίω ἐσόμεθα.
***Ἀρχιερεύς***: Εἰρήνη σοί. ***Λαός***: Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα.
*[**Στίχος**: Μακάριος ὃν ἐξελέξω καὶ προσελάβου Κύριε.*
*Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα.*
***Στίχος***: *Καὶ τὸ μνημόσυνον αὐτοῦ εἰς γενεὰν καὶ γενεάν*
*Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα.]*
***Διάκονος***: Σοφία· ὀρθοί· ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου. ***Ἀρχιερεύς***: Εἰρήνη πᾶσι.
***Λαός***: Καὶ τῷ πνεύματί σου, ***Ἀρχιερεύς***: Ἐκ τοῦ κατὰ Ἰωάννην ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα. ***Διάκονος***: Πρόσχωμεν. ***Λαός***: Δόξα σοι, Κύριε, δόξα σοι. ***Ἀρχιερεύς***: Εἶπεν ὁ Κύριος πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν Ἰουδαίους· Ἀμήν, Ἀμὴν λέγω ὑμῖν ὅτι ὁ τὸν λόγον μου ἀκούων καὶ πιστεύων τῷ πέμψαντί με, ἔχει ζωὴν αἰώνιον, καὶ εἰς κρίσιν οὐκ ἔρχεται, ἀλλὰ μεταβέβηκεν ἐκ τοῦ θανάτου εἰς τὴν ζωήν. Ἀμήν, Ἀμὴν λέγω ὑμῖν ὅτι ἔρχεται ὥρα, καὶ νῦν ἐστιν, ὅτε οἱ νεκροὶ ἀκούσονται τῆς φωνῆς τοῦ Υἱοῦ τοῦ Θεοῦ καὶ οἱ ἀκούσαντες ζήσονται. Ὥσπερ γὰρ ὁ Πατὴρ ἔχει ζωὴν ἐν ἑαυτῷ, οὕτως ἔδωκε καὶ τῷ Υἱῷ ζωὴν ἔχειν ἐν ἑαυτῷ καὶ ἐξουσίαν ἔδωκεν αὐτῷ καὶ κρίσιν ποιεῖν, ὅτι υἱὸς ἀνθρώπου ἐστί. Μὴ θαυμάζετε τοῦτο, ὅτι ἔρχεται ὥρα, ἐν ᾗ πάντες οἱ ἐν τοῖς μνημείοις ἀκούσονται τῆς φωνῆς αὐτοῦ, καὶ ἐκπορεύσονται οἱ τὰ ἀγαθὰ ποιήσαντες εἰς ἀνάστασιν ζωῆς, οἱ δὲ τὰ φαῦλα πράξαντες εἰς ἀνάστασιν κρίσεως. Οὐ δύναμαι ἐγὼ ποιεῖν ἀπ΄ ἐμαυτοῦ οὐδέν. Καθὼς ἀκούω κρίνω, καὶ ἡ κρίσις ἡ ἐμὴ δικαία ἐστίν, ὅτι οὐ ζητῶ τὸ θέλημα τὸ ἐμὸν ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με Πατρός.
***Μεγάλη Αἴτησις...***
***ΕΥΧΑΙ ΣΥΓΧΩΡΗΤΙΚΑΙ, ΕΙΣ ΠΑΣΑΝ ΑΡΑΝ, ΚΑΙ ΑΦΟΡΙΣΜΟΝ ΕΙΣ ΤΕΘΝΕΩΤΑ.***
Τοῦ Κυρίου δεηθῶμεν.
Κύριε ο Θεός ἡμῶν, ὁ τῇ σῇ ἀρρήτῳ σοφίᾳ δημιουργήσας τὸν ἄνθρωπον ἐκ τοῦ χοός, καὶ τοῦτον ἀναμορφώσας εἰς εἶδος καὶ κάλλος, καὶ ἐξωραΐσας ὡς τίμιον καὶ οὐράνιον κτῆμα, εἰς δοξολογίαν καὶ εὐπρέπειαν τῆς σῆς δόξης καὶ Βασιλείας, διὰ τὸ κατ΄εἰκόνα, καὶ καθ΄ὁμοίωσιν τοῦτον παραγαγεῖν· τὴν ἐντολὴν δὲ παραβάντα τοῦ σοῦ προστάγματος, καὶ μεταλαβόντα τῆς εἰκόνος, καὶ μὴ φυλάξαντα· διὰ τοῦτο, ἵνα μὴ τὸ κακὸν ἀθάνατον γένηται, φιλανθρώπως ἐκέλευσας τὴν κρᾶσιν, καὶ μίξιν ταύτην, καὶ τὸν ἄρρητόν σου τοῦτον δεσμὸν, ὡς Θεὸς τῶν Πατέρων ἡμῶν, τῷ θείῳ βουλήματι ἀποτέμνεσθαι, καὶ διαλύεσθαι· ὥστε τὴν μὲν ψυχὴν ἐκεῖσε χωρεῖν, ἔνθα καὶ τὸ εἶναι προσελάβετο, μέχρι τῆς κοινῆς ἀναστάσεως, τὸ δὲ σῶμα εἰς τὰ ἐξ ὧν συνετέθη ἀναλύεσθαι. Διὰ τοῦτο δεόμεθα σοῦ τοῦ ἀνάρχου Πατρὸς, καὶ τοῦ μονογενοῦς σου Υἱοῦ, καὶ τοῦ Παναγίου, καὶ ὁμοουσίου, καὶ ζωοποιοῦ σου Πνεύματος, ἵνα μὴ παρίδῃς τὸ σὸν πλάσμα καταποθῆναι τῇ ἀπωλείᾳ· ἀλλὰ τὸ μὲν σῶμα διαλυθῆναι εἰς τὰ ἐξ ὧν συνετέθη, τὴν δὲ ψυχὴν καταταγῆναι ἐν τῷ χορῷ τῶν Δικαίων. Ναὶ, Κύριε ὁ Θεὸς ἡμῶν,νικησάτω σου τὸ ἄμετρον ἔλεος, καὶ ἡ φιλανθρωπία ἡ ἀνείκαστος, καὶ εἴτε ὑπὸ κατάραν πατρός, ἢ μητρός, εἴτε τῷ ἰδίῳ ἀναθέματι ὑπέπεσεν ὁ δοῦλος σου οὗτος, εἴτε τινὰ τῶν Ἱερωμένων παρεπίκρανε, καὶ παρ΄αὐτοῦ δεσμὸν ἄλυτον ἐδέξατο, εἴτε ὑπὸ Ἀρχιερέως βαρυτάτῳ ἀφορισμῷ περιέπεσε, καὶ ἀμελείᾳ καὶ ῥαθυμίᾳ χρησάμενος, οὐκ ἔτυχε συγχωρήσεως, συγχώρησον αὐτῷ, δι΄ἐμοῦ τοῦ ἁμαρτωλοῦ καὶ ἀναξίου δούλου σου· καὶ τὸ μὲν σῶμα αὐτοῦ εἰς τὰ ἐξ ὧν συνετέθη διάλυσον, τὴν δὲ ψυχὴν αὐτοῦ ἐν σκηναῖς Ἁγίων κατάταξον. Ναὶ, Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τοῖς ἁγίοις σου Μαθηταῖς καὶ Ἀποστόλοις τὴν ἐξουσίαν δοὺς ταύτην, ὥστε τῶν ἁμαρτημάτων διδόναι τὴν ἄφεσιν, καὶ εἰπών· Ὅσα ἂν δήσωσι καὶ λύσωσιν, ἵνα ὦσι δεδεμένα, καὶ λελυμένα· δι΄αὐτῶν δὲ καὶ εἰς ἡμᾶς, εἰ καὶ ἀναξίους, ὡσαύτως τὴν τηλικαύτην δωρεὰν φιλανθρώπως διαβιβάσας, λύσον τὸν κοιμηθέντα δοῦλον σου ***(δεῖνα)*** τοῦ ψυχικοῦ καὶ σωματικοῦ ἁμαρτήματος, καὶ ἔστω συγκεχωρημένος καὶ ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι, πρεσβείαις τῆς παναχράντου καὶ ἀειπαρθένου σου Μητρὸς καὶ πάντων σου τῶν Ἁγίων. Ἀμήν.
***ΕΤΕΡΑ ΣΥΓΧΩΡΗΤΙΚΗ ΕΥΧΗ***
Τοῦ Κυρίου δεηθῶμεν.
Δέσποτα πολυέλεε, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ τὰς κλεῖς τῆς τῶν οὐρανῶν Βασιλείας, καὶ τῇ χάριτι, τὴν τοῦ δεσμεῖν τε καὶ λύειν τὰς τῶν ἀνθρώπων ἁμαρτίας, μετὰ τὴν ἁγίαν σου ἐκ νεκρῶν τριήμερον ἐξανάστασιν, τοῖς σοῖς ἁγίοις Μαθηταῖς καὶ ἱεροῖς Ἀποστόλοις δωρησάμενος ἐξουσίαν, ὥστε δεδεμένα εἶναι καὶ ἐν τῷ οὐρανῷ, ὅσα δι΄αὐτῶν ἐν γῇ δέδενται, καὶ λελυμένα ὡσαύτως ἐν τῷ οὐρανῷ, ὅσα δι΄αὐτῶν ἐν γῇ λέλυνται· διαδόχους ἡμᾶς τοὺς εὐτελεῖς καὶ ἀναξίους δούλου σου, τῆς αὐτῆς ταύτης παρὰ σοῦ ὑπεραγίας δωρεᾶς τε καὶ χάριτος, τῇ ἀφάτῳ σου φιλανθρωπίᾳ, καταξιώσας γενέσθαι, ὥστε καὶ ἡμᾶς οὕτω δεσμεῖν τε καὶ λύειν τὰ ἐν τῷ λαῷ σου συμβαίνοντα. Αὐτὸς πανάγαθε Βασιλεῦ, δι΄ἐμοῦ τοῦ ταπεινοῦ καὶ ἀχρείου δούλου, συγχώρησον τῷ δούλῳ *(τῇ δούλῃ)* σου (***δεῖνι***), εἴτι ἐν τῷ παρόντι βίῳ, ὡς ἄνθρωπος ἐπλημμέλησε· καὶ ἄφες αὐτῷ (*αὐτῇ*) ὅσα ἐν λόγῳ, ἢ ἔργῳ, ἢ κατὰ διάνοιαν ἥμαρτε, λύσας αὐτῷ (*αὐτῇ*) καὶ τὸν ἐπικείμενον, μεθ΄οἱωνδήποτε τρόπον, δεσμόν, ὃν αὐτὸς καθ΄ἑαυτόν *(αὐτὴ καθ΄ἑαυτήν)*, ἐκ συναρπαγῆς, ἢ ἄλλης τινὸς αἰτίας ἔδησε, καὶ εἴτε ὑπὸ Ἀρχιερέως, εἴτε παρ΄ἄλλου τινός, φθόνῳ καὶ συνεργείᾳ τοῦ πονηροῦ, τοιοῦτο ὑπέστη ὀλίσθημα· εὐδόκησον, ὡς μόνος ἀγαθὸς καὶ πολυέλεος, τὴν μὲν ψυχὴν αὐτοῦ (*αὐτῆς*) μετὰ τῶν Ἁγίων ταχθῆναι τῶν ἀπ΄αἰῶνός σοι εὐαρεστησάντων, τὸ δὲ σῶμα τῇ παρὰ σοῦ δημιουργηθείσῃ φύσει δοθῆναι. Ὅτι εὐλογητὸς καὶ δεδοξασμένος ὑπάρχεις εἰς τοὺς αἰῶνας. Ἀμήν.

***ΕΤΕΡΑ ΣΥΓΧΩΡΗΤΙΚΗ ΕΥΧΗ. ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΝΗΦΩΝΟΣ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΚΩΝ/ΠΟΛΕΩΣ***

Ὁ Πανοικτίρμων Θεός, ὁ εὔσπλαγχνος καὶ ἐλεήμων, καὶ Σωτὴρ ἡμῶν Ἰησοῦς Χριστός, ὁ κλίνας οὐρανοὺς τῇ αὐτοῦ ἀγαθότητι, ἐπὶ σωτηρίᾳ παντὸς ἀνθρώπου, ἀπεφήνατο, λέγων· ὡς ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσι. Πᾶς γὰρ ὁ αἰτῶν λαμβάνει, καὶ ὁ ζητῶν εὑρίσκει, καὶ τῷ κρούοντι ἀνοιγήσεται. Κατὰ τοῦτο καὶ ἡμεῖς τῷ ὄντι, θεῖοι Πατέρες, οἱ ἐν τῇ καθ΄ἡμᾶς θείᾳ καὶ Ἱερᾷ Μονῇ ***(τοῦ Ὁσίου καὶ θεοφόρου Πατρὸς ἡμῶν Σάββα του εν Καλύμνω αθλήσαντος)***, θείῳ Πνεύματι ἐμπνευσθέντες, ᾐτήσατε παρ΄ἡμῶν, τῶν ἐσφαλμένων ὑμῖν συγχώρησιν, ἀναμνησθέντες τῆς θείας φωνῆς ἐκείνης, τῆς λεγούσης· (Ὅσα ἂν δήσητε ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα ἐν τοῖς οὐρανοῖς· καὶ ὅσα ἂν λύσητε ἐπὶ τῆς γῆς, ἔσται λελυμένα ἐν τοῖς οὐρανοῖς· καὶ, ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται αὐτοῖς· ἄν τινων κρατῆτε, κεκράτηνται). Ἡ μετριότης ἡμῶν, ὡς διάδοχος τῆς τοιαύτης χάριτος γεγονυῖα, λύει καὶ συγχωρεῖ διὰ τῆς χάριτος τοῦ Παναγίου καὶ Ζωοποιοῦ Πνεύματος, τῷ κοιμηθέντι δούλῳ *(τῇ κοιμηθείσῃ δούλῃ)* τοῦ Θεοῦ ***(δεῖνι)*** καὶ πᾶσι τοῖς ἐντὸς καὶ ἐκτὸς ἀδελφοῖς τῆς Ἱερᾶς Μονῆς ταύτης, καὶ ἅπασι τοῖς πνευματικοῖς ἡμῶν τέκνοις, τοῖς ἁπανταχοῦ τυγχάνουσι, ὅσα καὶ οἷα πνευματικοῖς Πατράσιν ἐξωμολογήσαντο ἁμαρτήματα, ἐν λόγῳ τε καὶ ἔργῳ, καὶ διανοίᾳ, ἐν νυκτὶ καὶ ἡμέρᾳ. Ὅσα δὲ ἐκ λήθης, ἢ ἐξ ἀγνοίας, ἢ ὡς ἁρπαγέντες ὑπὸ τοῦ χρεών, οὐκ ἔφθασαν ἐξομολογήσασθαι, συγκεχωρημένα καὶ ταῦτα ἔστωσαν τῇ τοῦ εἰρηκότος ἰσχύϊ, φιλανθρωπίᾳ καὶ χάριτι, ὡς οὐκ ἦλθον καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν. Τηρήσαι δὲ ἡμᾶς καὶ εἰς τὸ ἑξῆς ἀσινεῖς ἐκ τῶν τοῦ πονηροῦ βουλευμάτων, καὶ ἀνεπηρεάστους· πρεσβείαις τῆς Παναχράντου Αὐτοῦ Μητρός, τοῦ τιμίου ἐνδόξου Προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, καὶ πάντων σου τῶν Ἁγίων. Ἀμήν.

***ΙΔΙΟΜΕΛΑ, Ἦχος α'***

Ποία τοῦ βίου τρυφὴ διαμένει λύπης ἀμέτοχος; Ποία δόξα ἕστηκεν ἐπὶ γῆς ἀμετάθετος; Πάντα σκιᾶς ἀσθενέστερα, πάντα ὀνείρων ἀπατηλότερα· μία ῥοπὴ καὶ ταῦτα πάντα θάνατος διαδέχεται. Ἀλλ' ἐν τῷ φωτί, Χριστέ, τοῦ προσώπου σου, καὶ τῷ γλυκασμῷ τῆς σῆς ὡραιότητος, ὃν (*ἣν*) ἐξελέξω ἀνάπαυσον ὡς φιλάνθρωπος.

***Ἦχος β'***

Οἴμοι, οἷον ἀγῶνα ἔχει ἡ ψυχή, χωριζομένη ἐκ τοῦ σώματος! Οἴμοι, πόσα δακρύει τότε, καὶ οὐχ ὑπάρχει ὁ ἐλεῶν αὐτήν! Πρὸς τούς Ἀγγέλους τὰ ὄμματα ῥέπουσα, ἄπρακτα καθικετεύει· πρὸς τοὺς ἀνθρώπους τὰς χεῖρας ἐκτείνουσα, οὐκ ἔχει τὸν βοηθοῦντα. Διό, ἀγαπητοί μου ἀδελφοί, ἐννοήσαντες ἡμῶν τὸ βραχὺ τῆς ζωῆς, τῷ μεταστάντι *(τῇ μεταστάσῃ)* τὴν ἀνάπαυσιν, παρὰ Χριστοῦ αἰτησώμεθα, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

***Ἦχος γ'***

Πάντα ματαιότης τὰ ἀνθρώπινα, ὅσα οὐχ ὑπάρχει μετὰ θάνατον· οὐ παραμένει ὁ πλοῦτος, οὐ συνοδεύει ἡ δόξα· ἐπελθὼν γὰρ ὁ θάνατος, ταῦτα πάντα ἐξηφάνισται. Διό, Χριστῷ τῷ ἀθανάτῳ Βασιλεῖ βοήσωμεν· Τὸν μεταστάντα *(τὴν μεταστᾶσαν)* ἐξ ἡμῶν ἀνάπαυσον, ἔνθα πάντων ἐστὶν εὐφραινομένων ἡ κατοικία.

***Ἦχος δ'***

Ποῦ ἐστιν ἡ τοῦ κόσμου προσπάθεια; Ποῦ ἐστιν ἡ των προσκαίρων φαντασία; Ποῦ ἐστιν ὁ χρυσὸς καὶ ὁ ἄργυρος; Ποῦ ἐστι τῶν ἱκετῶν ἡ πλημμύρα καὶ ὁ θόρυβος; Πάντα κόνις, πάντα τέφρα, πάντα σκιά. Ἀλλὰ δεῦτε βοήσωμεν τῷ ἀθανάτῳ Βασιλεῖ· Κύριε, τῶν αἰωνίων σου ἀγαθῶν ἀξίωσον τὸν μεταστάντα *(τὴν μεταστᾶσαν)* ἐξ ἡμῶν, καὶ ἀνάπαυσον αὐτὸν (*αὐτήν*) ἐν τῇ ἀγήρῳ μακαριότητι.

***Ἦχος πλ. α'***

Ἐμνήσθην τοῦ Προφήτου βοῶντος· Ἐγώ εἰμι γῆ καὶ σποδός· καὶ πάλιν κατενόησα ἐν τοῖς μνήμασι καὶ εἶδον τὰ ὀστᾶ τὰ γεγυμνωμένα καὶ εἶπον: Ἄρα τίς ἐστι βασιλεὺς ἢ στρατιώτης, ἢ πλούσιος ἢ πένης, ἢ δίκαιος ἢ ἁμαρτωλός; Ἀλλὰ ἀνάπαυσον, Κύριε, μετὰ δικαίων τὸν δοῦλόν *(τὴν δούλην)* σου.

***Ἦχος πλ. β'***

Ἀρχὴ μοι καὶ ὑπόστασις, τὸ πλαστουργόν σου γέγονε πρόσταγμα· βουληθεὶς γὰρ ἐξ ἀοράτου τε, καὶ ὁρατῆς με ζῷον συμπῆξαι φύσεως, γῆθεν μου τὸ σῶμα διέπλασας, δέδωκας δὲ μοι ψυχήν, τῇ θείᾳ σου καὶ ζωοποιῷ ἐμπνεύσει. Διό Χριστέ, τὸν δοῦλόν *(τὴν δούλην)* σου, ἐν χώρᾳ ζώντων, ἐν σκηναῖς δικαίων ἀνάπαυσον.

***Ἦχος βαρὺς***

Κατ' εἰκόνα σὴν καὶ ὁμοίωσιν, πλαστουργήσας κατ' ἀρχὰς τὸν ἄνθρωπον, ἐν Παραδείσῳ τέθεικας, κατάρχειν σου τῶν κτισμάτων· φθόνῳ δὲ διαβόλου ἀπατηθείς, τῆς βρώσεως μετέσχε, τῶν ἐντολῶν σου παραβάτης γεγονώς· διὸ πάλιν εἰς γῆν ἐξ ἧς ἐλήφθη, κατεδίκασας ἐπιστρέφειν, Κύριε, καὶ αἰτεῖσθαι τὴν ἀνάπαυσιν.

***Ἦχος πλ. δ'***

Ἀμέτρητος ὑπάρχει, τοῖς ἀσώτως βιοῦσιν ὁ θάνατος, βρυγμὸς ὀδόντων, καὶ κλαυθμὸς ἀπαράκλητος, γνόφος ἀφεγγής, καὶ σκότος ἐξώτερον, καὶ σκώληξ ἀκοίμητος, δάκρυα ἀνενέργητα, καὶ Κριτὴς ἀσυμπάθητος. Διὰ τοῦτο πρὸ τοῦ τέλους βοήσωμεν λέγοντες· Δέσποτα Χριστέ, ὃν (*ἣν*) ἐξελέξω, μετὰ τῶν ἐκλεκτῶν σου ἀνάπαυσον.

***ΕΙΤΑ ΓΙΝΕΤΑΙ Ο ΑΣΠΑΣΜΟΣ, Στιχηρὰ Προσόμοια. Ἦχος β', Ὅτε ἐκ τοῦ ξύλου σε νεκρὸν***

Δεῦτε τελευταῖον ἀσπασμόν, δῶμεν ἀδελφοὶ τῷ θανόντι *(τῇ θανούσῃ)*, εὐχαριστοῦντες Θεῷ· οὗτος (*αὕτη*) γὰρ ἐξέλιπε τῆς ἀδελφότητος, καὶ πρὸς τάφον ἐπείγεται, οὐκ ἔτι φροντίζων (*φροντίζουσα*), τὰ τῆς ματαιότητος καὶ πολυμόχθου σαρκός. Ποῦ νῦν Μοναστῶν καὶ μιγάδων, φίλτρον ἀναφαίνεται ὄντως, ματαιότης ἅπαν τὸ ἀνθρώπινον.

Δεῦτε ἐν τῷ τάφῳ ἀδελφοί, ἴδωμεν τὴν τέφραν καὶ γνῶμεν ποῖος ὁ δοῦλος ἐκεῖ, σκώληκες διέφθειραν, καὶ οὐ γνωρίζομεν· ποῖος πένης ἢ πλούσιος; ἢ ποῖος δεσπότης; ποῖος ὁ ἐλεύθερος καὶ οὐχὶ πάντες σποδός; Κάλλος τοῦ προσώπου ἐσάπη, καὶ τὸ ἐκ νεότητος ἄνθος, ὄντως κατεμάρανεν ὁ θάνατος.

Ποῖος χωρισμός, ὦ ἀδελφοί; ποῖος κοπετός, ποῖος θρῆνος, ἐν τῇ παρούσῃ ῥοπῇ; Δεῦτε οὖν ἀσπάσασθε τὸν (*τὴν*) πρὸ μικροῦ μεθ' ἡμῶν· παραδίδοται τάφῳ γάρ, καλύπτεται λίθῳ, σκότει κατοικίζεται, νεκροῖς συνθάπτεται· πάντες ἀδελφοί τε καὶ φίλοι, ἄρτι χωριζόμεθα ὅνπερ (*ἥνπερ*), ἀναπαῦσαι Κύριος εὐξώμεθα.

Δεῦτε τελευταῖον ἀσπασμόν, δῶμεν ἀδελφοὶ τῷ θανόντι *(τῇ θανούσῃ)*, εὐχαριστοῦντες Χριστῷ, οὗτος (*αὕτη*) γὰρ ἐπλήρωσε, πάντα τὸν βίον αὐτοῦ (*αὐτῆς*)· τὸ γὰρ θεῖον ἐπάγγελμα, τοῦ σχήματος τούτου, πίστει ἐνδυσάμενος, φύλαξ ἐγένετο· νῦν δὲ πρὸς τὴν γῆν ἐπιστρέφει, ὅθεν προσελήφθημεν ὅνπερ (*ἥνπερ*) ἀναπαῦσαι, Κύριος εὐξώμεθα.

Δεῦτε ἀδελφοὶ πνευματικοί, ἴδωμεν τὸ πέρας τοῦ βίου, καὶ τῆς παρούσης ζωῆς, πῶς διαλυόμεθα καὶ χωριζόμεθα· ὁ (*ἡ*) γὰρ χθὲς συμπαρὼν (συμπαροῦσα) ἡμῖν, φωτὸς ἀπολαύων (*ἀπολαύουσα*), σήμερον ἐκφέρεται, πρὸς τάφον τὸν σκοτεινόν· ταῦτα προορώμενοι φόβῳ, κλαύσωμεν, στενάξωμεν ὅπως, ἀναπαύσῃ Κύριος αὐτὸν (*αὐτήν*) ἐν φωτί.

Ἄρτι ἡ τοῦ βίου πονηρά, λύεται πανήγυρις πᾶσα, τῆς ματαιότητος, πνεῦμα γὰρ ἐξέλιπεν ἀπὸ σκηνώματος, ὁ πηλὸς μεμελάνωται, τὸ σκεῦος ἐῤῥάγη, ἄφωνον, ἀκίνητον, νεκρόν, ἀναίσθητον· ὅπερ παραπέμποντες τάφῳ, Κύριον εὐξώμεθα δοῦναι, εἰς αἰῶνας τούτῳ (*ταύτῃ*) τὴν ἀνάπαυσιν.

Πάντα τὰ τοῦ σώματος νυνί, ὄργανα ἀργὰ θεωροῦνται, καὶ ἀνενέργητα, πάντα τε ἀκίνητα, τὰ πρὸ μικροῦ κινητά· ὀφθαλμοὶ γὰρ κατέδυσαν, ἐδέθησαν χεῖρες, χείλη ἡσυχάζουσι, καὶ ἀκοὴ σὺν αὐτοῖς· γλῶσσα τῇ σιγῇ συγκρατεῖται, τάφῳ παραδίδοται ὄντως, ματαιότης ἅπαν τὸ ἀνθρώπινον.

Οἷα ἡ ζωὴ ἡμῶν ἐστιν, ἄνθος καὶ ἀτμὶς τε καὶ δρόσος, ἑωθινὴ ἀληθῶς· δεῦτε οὖν κατίδωμεν, ἐπὶ τοὺς τάφους τρανῶς, ποῦ τὸ κάλλος τοῦ σώματος; καὶ ποῦ ἡ νεότης; ποῦ εἰσι τὰ ὄματα καὶ ἡ μορφὴ τῆς σαρκός; πάντα ἐξηράνθη ὡς χόρτος· πάντα ἠφανίσθησαν δεῦτε, τῷ Χριστῷ προσπέσωμεν σὺν δάκρυσι.

Μέγας ὁ κλαυθμὸς καὶ ὀδυρμός, μέγας στεναγμὸς καὶ ὀδύνη, ὁ χωρισμὸς τῆς ψυχῆς· Ἅδης καὶ ἀπώλεια, ἡ τῶν προσκαίρων ζωή, ἡ σκιὰ ἡ ἀνύπαρκτος, ὁ ὕπνος τῆς πλάνης, καὶ ἀκαιροφάνταστος, μόχθος τοῦ βίου τῆς γῆς· πόῤῥω ἐκφευξώμεθα κόσμου, ἅπαν τὸ ἁμάρτημα ἵνα, τὰ οὐράνια κληρονομήσωμεν.

Πάντες δυσωποῦμεν σε Χριστέ, νῦν ἐν κατανύξει βοῶντες, καὶ προσευχῇ ἐκτενεῖ, ἵλεως φιλάνθρωπε, γενοῦ τῷ δούλῳ *(τῇ δούλῃ)* σου, συγχωρῶν αὐτῷ (*αὐτῇ*) εὔσπλαγχνε, τὰ ἔργῳ καὶ λόγῳ, ὅσα ἐπλημμέλησε, ζῶν ὥς περ ἄνθρωπος· σὲ γὰρ ἐπεπόθησε Λόγε, καὶ σοὶ ἠκολούθησε πίστει, ὃν (*ἣν*) τῆς Βασιλείας σου ἀξίωσον.

Τοῦτο τῆς ζωῆς ἡμῶν ἐστι, τὸ ἀπαραχώρητον τέλος, καὶ τὸ ἐπιτίμιον·

θάνατος καὶ τάφος γάρ, ἡμᾶς ἐκδέχεται, τοῖς καλῶς μὲν βιώσασιν, ἡτοίμαστε δόξα, τοῖς δὲ ἀμελήσασι, κρίσις ἀπέραντος· ἧσπερ τὸν (*τὴν*) νυνὶ μεταστάντα (*μεταστᾶσαν*), λύτρωσαι φιλάνθρωπε Σῶτερ, καὶ τῆς Βασιλείας σου ἀξίωσον.

Ὅτε ἐκ τοῦ σώματος ψυχή, μέλλει μετὰ βίας ἡρπᾶσθαι, ὑπὸ Ἀγγέλων φρικτῶν, πάντων ἐπιλήσεται, τῶν συγγενῶν καὶ γνωστῶν, καὶ φροντίζει τὰ μέλλοντα, κριτήρια στῆναι, τὰ τῆς ματαιότητος, καὶ πολυμόχθου σαρκός· Δεῦτε τὸν Κριτὴν δυσωποῦντες, πάντες ἐπευξώμεθα ἵνα, συγχωρήσῃ Κύριος, ἃ ἔπραξε.

Δόξα... ***ὅμοιον***. Μίαν ὑποστάσεσι τρισί, σέβοντες Θεότητα πίστει, παντουργικὴ σε Τριάς, θεία τῇ προστάξει σου, τὸν μεταστάντα *(τὴν μεταστᾶσαν)* πιστῶς, φωτεινοῖς ἐναυλίζεσθαι, ἀξίωσον τόποις, μετὰ τῶν Ἁγίων σου, ἔνθα τὸ σὸν ἄδυτον, κάλλος ἀπαστράπτει πλουσίως, πάντα παρορῶν τὰ ἐν βίῳ, τούτου (*ταύτης*) πλημμελήματα ὡς εὔσπλαγχνος.

Καὶ νῦν... ***Θεοτοκίον***. Σῶζε τοὺς ἐλπίζοντας εἰς σέ, Μήτηρ τοῦ ἀδύτου Ἡλίου, Θεογεννήτρια· αἴτησαι πρεσβείαις σου τὸν Ὑπεράγαθον, ἀναπαῦσαι δεόμεθα, τὸν νῦν μεταστάντα *(τὴν νῦν μεταστᾶσαν),* ἔνθα ἀναπαύονται αἱ τῶν Δικαίων ψυχαί· θείων ἀγαθῶν κληρονόμον, δεῖξον ἐν αὐλαῖς τῶν Δικαίων εἰς μνημόσυνον, Πανάμωμε, αἰώνιον.

***ΜΕΤΑ ΤΟΝ ΑΣΠΑΣΜΟ ΠΗΓΑΙΝΟΥΜΕ ΣΤΟ ΚΟΙΜΗΤΗΡΙΟ ΨΑΛΛΟΝΤΑΣ ΤΟ*** «ΑΓΙΟΣ Ο ΘΕΟΣ...», ***ΚΑΝΟΥΜΕ ΤΡΕΙΣ ΣΤΑΣΕΙΣ ΚΑΙ ΣΕ ΚΑΘΕ ΣΤΑΣΗ ΓΙΝΕΤΑΙ*** **Μικρὰ Αἴτησις...**

***ΟΤΑΝ ΒΑΛΟΥΜΕ ΤΟ ΛΕΙΨΑΝΟ ΣΤΟΝ ΤΑΦΟ ΨΑΛΛΟΥΜΕ ΤΟ: Ἦχος πλ. δ'.***

Γῆ χανοῦσα ὑπόδεξαι τὸν (*τὴν*) ἀπὸ σοῦ πλασθέντα (*πλασθεῖσαν*), χειρὶ Θεοῦ τὸ πρότερον· πάλιν δὲ ὑποστρέφοντα (*ὑποστρέφουσα*) πρὸς σὲ τὴν τεκοῦσαν· τὸ γὰρ κατ΄εἰκόνα ὁ Κτίστης προσελάβετο, σὺ δὲ ὑπόδεξαι τὸ *σῶμα ὡς* ἴδιον.

***Ο ΙΕΡΕΑΣ ΡΙΧΝΟΝΤΑΣ ΧΩΜΑ ΣΤΑΥΡΟΕΙΔΩΣ ΛΕΓΕΙ:***

Τοῦ Κυρίου ἡ γῆ, καὶ τὸ πλήρωμα αὐτῆς· ἡ οἰκουμένη καὶ πάντες οἱ κατοικοῦντες ἐν αὐτῇ.[Γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσει ή «Χοῦς εἶ καί εἰς χοῦν ἀπελεύσει»].

***ΕΠΙΧΕΕΙ ΚΑΙ ΤΗΝ ΚΑΝΔΗΛΑ ΣΤΑΥΡΟΕΙΔΩΣ ΚΑΙ ΨΑΛΛΕΙ: Ἦχος πλ. δ'***

Τῷ τύπῳ τοῦ σταυροῦ σου φιλάνθρωπε, ὁ θάνατος νενέκρωται, καὶ ὁ ᾅδης ἐσκύλευται, καὶ οἱ πάλαι θανέντες, ἀναστάντες ὕμνον σοι προσέφερον· διὸ βοῶμέν σοι, Χριστὲ ὁ Θεός· τὸν μεταστάντα *(τὴν μεταστᾶσαν)* ἐξ ἡμῶν ἀνάπαυσον, ἔνθα πάντων ἐστὶν εὐφραινομένων ἡ κατοικία ἐν σοί, δοξάζειν σου τὴν Θεότητα.

***ΚΑΛΥΠΤΕΤΑΙ Ο ΤΑΦΟΣ ΚΑΙ ΨΑΛΛΟΥΜΕ ΤΑ: ΙΔΙΟΜΕΛΑ, ΗΧΟΣ ΠΛΑΓ. Β΄.***

Πνευματικοί μου ἀδελφοί· μὴ μου ἐπιλάθησθε ὅταν προσεύχησθε· δεῦτε συνάχθητε καὶ ἀθροίσθητε, οἱ ἐκ βρέφους τὸν ζυγὸν τοῦ Χριστοῦ βαστάσαντες, δάκρυα ῥάνατε, χεῖρας ἄρατε, καὶ βοήσατε· Δέσποτα Χριστέ, σὺν Ἁγίοις σου ἀνάπαυσον, ὃν (*ἣν*) μετέστησας ἐξ ἡμῶν οἰκέτην σου, τὰ τούτου (*ταύτης*) παραβλέψας ἐγκλήματα· σοῦ γὰρ τὸν σταυρὸν ἐπὶ τῶν ὤμων ἄρας, θερμῶς ἐπηκολούθησε, πρεσβείαις τῆς ἀσπόρως κυησάσης σε, καὶ τῶν Ὁσίων, καὶ τῶν Δικαίων, ὑπεράγαθε μόνε πολυέλεε.

***Ὁ αὐτός.***

Τὴν πολυτάραχον θάλασσαν τοῦ βίου διαδραμών, τῷ σῷ λιμένι προσέδραμε τῇ πίστει ὁ μεταστάς *(ἡ μεταστᾶσα)*· ἀλλ΄ἐν τῇ σῇ γαλήνῃ, καὶ ᾀειζώῳ τρυφῇ, μετὰ τῶν Ἁγίων καθοδηγῶν αὐτόν (*αὐτήν*), ἀνάπαυσον Κύριε, τὴν ψυχὴν τοῦ δούλου *(τῆς δούλης)* σου.

***Ὁ αὐτός.***

Ἡ ἀοίδιμος φωνὴ τοῦ θείου Δαβίδ, σήμερον πληροῦται, ἄνθρωπος λέγουσα, ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ, ὡσεὶ ἄνθος τοῦ ἀγροῦ, οὕτως ἐξανθήσει· ὃν (*ἣν*) γὰρ πρὸ μικροῦ ἐβλέπομεν ζῶντα (*ζῶσαν*), καὶ προσλαλοῦντα (*προσλαλοῦσαν*), ἰδοὺ πρόκειται νεκρός (*-ά*), ἀκίνητος, ἄπνους· ἐξῆλθε καὶ ἀπῆλθεν ἀπὸ τῶν ἐνθάδε ἐκεῖ, ὅπου ὁ μισθὸς τῶν ἔργων ὑπάρχει· ὅπου ἡ χαρὰ πάντων τῶν Ἁγίων, μεθ΄ὧν ἀνάπαυσον τὸν κεκοιμημένον *(τὴν κεκοιμημένην),* ὁ Θεός, ὡς ἐλεήμων καὶ φιλάνθρωπος.

***Ἦχος Πλάγ. Δ΄.***

Καθὼς εἶπας Κύριε τῇ Μάρθᾳ· Ἐγώ εἰμι ἡ ἀνάστασις, ἔργῳ τὸν λόγον ἐπλήρωσας, ἐξ Ἅιδου καλέσας τὸν Λάζαρον· οὕτω καὶ τὸν δοῦλόν σου *(τὴν δούλην σου),* δεόμεθα Σωτήρ, μετὰ τῶν Δικαίων ἀνάπαυσον, ὡς μόνος εὔσπλαγχνος καὶ φιλάνθρωπος.

***Ὁ αὐτός.***

Παντοκράτορ Κύριε, τὴν ψυχὴν τοῦ δούλου *(τῆς δούλης)* σου ἀνάπαυσον, ἐν σκηναῖς τῶν Δικαίων, ὅπου τὸ φῶς σου καταλάμπει πᾶσι τοῖς ἀξίοις, μόνε πολυέλεε.

Δόξα...***Ἦχος πλ. δ',*** Θρηνῶ καὶ ὀδύρομαι, ὅταν ἐννοήσω τὸν θάνατον, καὶ ἴδω ἐν τοῖς τάφοις κειμένην τὴν κατ΄εἰκόνα Θεοῦ, πλασθεῖσαν ἡμῖν ὡραιότητα, ἄμορφον, ἄδοξον, μὴ ἔχουσαν εἶδος· ὢ τοῦ θαύματος! τί τὸ περὶ ἡμᾶς τοῦτο γέγονε μυστήριον; πῶς παρεδόθημεν τῇ φθορά;πῶς συνεζεύχθημεν τῶ θανάτω; ὄντως Θεοῦ προστάξει, ὡς γέγραπται, τοῦ παρέχοντος τῷ μεταστάντι *(τῇ μεταστάσῃ)* τὴν ἀνάπαυσιν.

Καὶ νῦν... ***Ὁ αὐτός.*** Δέσποινα πρόσδεξε, τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

***ΕΙΤΑ ΤΟ*** **ΤΡΙΣΑΓΙΟΝ**...***ΚΑΙ ΤΑ ΠΑΡΑΚΑΤΩ: Ἦχος δ΄.***

Μετὰ πνευμάτων δικαίων τετελειωμένων, τὴν ψυχὴν τοῦ δούλου *(τῆς δούλης)* σου, Σῶτερ, ἀνάπαυσον, φυλάττων αὐτὴν εἰς τὴν μακαρίαν ζωὴν τὴν παρὰ σοί, φιλάνθρωπε.

Εἰς τὴν κατάπαυσίν σου, Κύριε, ὅπου πάντες οἱ Ἅγιοί σου ἀναπαύονται, ἀνάπαυσον καὶ τὴν ψυχήν τοῦ δούλου (*τῆς δούλης)* σου, ὅτι μόνος ὑπάρχεις ἀθάνατος.

Δόξα...Σὺ εἶ ὁ Θεὸς ἡμῶν, ὁ καταβὰς εἰς Ἅδην, καὶ τὰς ὀδύνας λύσας τῶν πεπεδημένων· αὐτὸς καὶ τὴν ψυχὴν τοῦ δούλου *(τῆς δούλης)* σου, Σῶτερ, ἀνάπαυσον.

Καὶ νῦν... ***Θεοτοκίον***. Ἡ μόνη ἁγνὴ καὶ ἄχραντος Παρθένος, ἡ Θεὸν ἀσπόρως κυήσασα, πρέσβευε ὑπὲρ τοῦ ἐλεηθῆναι, καὶ συγχωρηθῆναι τὴν ψυχὴν τοῦ δούλου *(τῆς δούλης)* σου.

***Μεγάλη Αἴτησις...***

***Ἱερεύς***· Δόξα σοι ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι. ***ὁ Χορός:*** Δόξα...Καὶ νῦν ... ***Καὶ ἀπόλυσις.*** Ὁ καὶ νεκρῶν καὶ ζώντων τὴν ἐξουσίαν ἔχων ὡς ἀθάνατος Βασιλεύς, καὶ ἀναστὰς ἐκ νεκρῶν, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου Ἁγίας αὐτοῦ Μητρός, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, τῶν Ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν, τῶν ἁγίων ἐνδόξων Προπατόρων Ἀβραάμ, Ἰσαὰκ καὶ Ἰακώβ· τοῦ ὁσίου καὶ δικαίου φίλου αὐτοῦ Λαζάρου τοῦ τετραημέρου, καὶ πάντων τῶν Ἁγίων· τὴν ψυχὴν τοῦ (*τῆς*) ἐξ ἡμῶν μεταστάντος δούλου *(μεταστάσης δούλης)* σου ***(δεῖνος)***, ἐν σκηναῖς δικαίων τάξαι· ἐν κόλποις Ἀβραὰμ ἀναπαῦσαι· καὶ μετὰ Ἁγίων καὶ δικαίων συναριθμῆσαι· ἡμᾶς δὲ ἐλεῆσαι, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

***ΚΑΙ ΕΥΛΟΓΩΝ ΤΟ ΛΕΙΨΑΝΟΝ ΤΡΙΣ, ΛΕΓΕΙ:***

***Δι΄ ἄνδραν·*** Αἰωνία σου ἡ μνήμη ἀξιομακάριστε καὶ ἀείμνηστε ἀδελφὲ ἡμῶν ***(γ΄).***

*Ἐπὶ δὲ γυναικός* Αἰωνία σου ἡ μνήμη ἀξιομακάριστος καὶ ἀείμνηστος ἀδελφὴ ἡμῶν ***(γ΄).***

***Ἱερεύς***· ΑΔΕΛΦΟΙ ΚΑΙ ΠΑΤΕΡΕΣ, Ὁ ἀδελφὸς *(ἡ ἀδελφὴ)* ἡμῶν ***(δεῖνα)*** ἐπλήρωσε τὸ κοινὸν καὶ ἀναπόφευκτον χρέος. Καὶ ἰδοὺ κεῖται νεκρὸς *(-ά)* καὶ ἄπνους μηκέτι πλέον φροντίζων *(-ουσα)* τὰ τῆς ματαιότητος. Τὸ μὲν σῶμα παραδίδοται εἰς τὴν γῆν, ἐξ ἧς ἐπλάσθη, μέχρι τῆς κοινῆς Ἀναστάσεως· ἡ δὲ ψυχὴ ἀπέρχεται πρὸς τὸν πλάστην Θεὸν ἡμῶν καὶ δίκαιον κριτήν, ἐν ᾧ προσωποληψία οὐχ ὑπάρχει. Ἀλλ΄ἐπειδὴ καὶ συνέζησε μεθ΄ἡμῶν ἐπὶ τόσα ἔτη, δυνατόν, ὡς ἄνθρωπος καὶ αὐτός *(-ή)*, νὰ παρεπίκρανε τινα ἐξ ἡμῶν ἢ μὲ λόγον, ἢ μὲ ἔργον, δέεται καὶ παρακαλεῖ δί΄ἐμοῦ, ἵνα συγχωρήσωμεν αὐτὸν (*αὐτὴν*) ἐπαναλαμβάνοντες τρίς, λέγοντες· ὁ Θεὸς συγχωρῆσαι καὶ ἐλεῆσαι αὐτὸν (*αὐτὴν*). Καὶ μετὰ προθυμίας ἂς ἐκτελέσωμεν τὸ συνειθισμένον Κομβοσχοίνιον, λέγοντες τό· ΚΥΡΙΕ ΑΝΑΠΑΥΣΟΝ ΤΗΝ ΨΥΧΗΝ ΤΟΥ ΔΟΥΛΟΥ *(ΤΗΣ ΔΟΥΛΗΣ)* ΣΟΥ

***( ρ΄φορές· εἰς τὴν πρώτην μόνον εὐχὴν μνημονεύεται ὀνομαστικῶς).***

***Ἦχος πλ. δ'***

Ὅταν τίθωνται θρόνοι, καὶ ἀνοίγωνται βίβλοι, καὶ Θεὸς εἰς κρίσιν καθέζηται, ὢ ποῖος φόβος τότε!. Ἀγγέλων παρισταμένων ἐν φόβῳ, καὶ ποταμοῦ πυρὸς ἕλκοντος, τί ποιήσομεν τότε οἱ ἐν πολλαῖς ἁμαρτίαις ὑπεύθυνοι ἄνθρωποι; Ὅταν δὲ ἀκούσωμεν καλοῦντος αὐτοῦ, τοὺς εὐλογημένους τοῦ Πατρὸς εἰς βασιλείαν, ἁμαρτωλούς δὲ ἀποπέμποντος εἰς κόλασιν, τίς ὑποστήσεται τὴν φοβερὰν ἐκείνην ἀπόφασιν; Ἀλλὰ μόνε φιλάνθρωπε Σωτήρ, ὁ Βασιλεὺς τῶν αἰώνων, πρὶν τὸ τέλος φθάσῃ, διὰ τῆς μετανοίας ἐπιστρέψας ἐλέησόν με.

***Ἱερεύς***· Δι΄ εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν, Κύριε, Ἰησοῦ Χριστέ, ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. ***ὁ Χορός:*** Ἀμήν.

**π. Γ. Θ. https://www.youtube.com/user/KERMENI** ***(βλέπε στις πληροφορίες: τα αρχεια μου -για δωρεάν κατέβασμα-, μπλογκ, φέισμπουκ)***